ΘΩΜΑΣ Ο ΜΑΓΙΣΤΡΟΣ

καὶ

ΙΣΟΚΡΑΤΗΣ.

„Πᾶσιν ἁδεῖν χαλεπόν."

Διδακτορικὴ διατριβὴ

ὑπὸ

Cyriacides

ΓΕΩΡΓΙΟΥ ΚΥΡΙΑΚΙΔΟΥ Δ. Φ.
Ἀδριανοπολίτου.

Erlangen.
Druck der Universitäts-Buchdruckerei von E. Th. Jacob.
1893.

Τῇ σεβαστῇ μου μητρὶ

ΕΥΦΡΟΣΥΝΗ,

χάριν εἰδώς.

Προοίμιον.

Ἰσοκράτης, ὁ τῶν ῥητόρων αἰδημονέστατος, πολλοὺς ἔγραψε λόγους, ὧν καὶ αἱ τρεῖς παραινέσεις εἰσίν[1]), εἰ καί τινες αὐτὰς μὴ εἶναι αὐτοῦ διὰ τὸ ἀσθενὲς τῆς φράσεως εἰπεῖν ἠβουλήθησαν. Ἐν τῇ πρώτῃ τούτων ὑποθήκας πρὸς Δημόνικον, τὸν υἱὸν Ἱππονίκου τινός, γράφει, τὴν τοῦ βίου ὁδὸν διαγράψαι αὐτῷ βουλόμενος. Τὴν δευτέραν πρὸς Νικοκλέα, τὸν υἱὸν Εὐαγόρου καὶ Σαλαμινίων βασιλέα, πέμπει, παραινῶν, ὡς δεῖ βασιλεύειν ὀρθῶς, βουλόμενος οὕτω χρήσιμος μετὰ τὴν τοῦ πατρὸς τελευτὴν καὶ τούτῳ γενέσθαι, παρ᾽ οὗ, φασὶ μέν τινες[2]), ὡς καὶ εἰκάδα ταλάντων ὑπὲρ τούτου ἐδέξατο, ἀλλ᾽ ἀδικοῦσιν, οἶμαι, κατηγοροῦντες αὐτοῦ, ὡς αὐτὸς οὗτος ἔν τινι τῶν αὐτοῦ λόγων λέγει ὑπεραπολογούμενος ἑαυτοῦ[3]). Τὴν τρίτην δὲ καὶ τελευταίαν πρὸς τὸν αὐτὸν Νικοκλέα ὡςαύτως πέμπει, διὰ τοῦ βασιλέως καὶ οὐ δι᾽ ἑαυτοῦ τοῖς ὑπηκόοις συμβουλεῦσαι βουλόμενος, πῶς δεῖ αὐτοὺς βασιλεύεσθαι, πρὸς οὓς καὶ τὰ ἐν αὐτῇ παρὰ Νικοκλέους καὶ

---

1) Διον. Ἁλικαρν. Ἰσ. 10· „Ἔχων δὲ πολλοὺς αὐτοῦ καὶ ἄλλους διεξιέναι λόγους πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας, ὧν οἱ μὲν εἰς τὴν τοῦ βίου σωφροσύνην τὰ πλήθη προκαλοῦσιν, οἱ δ᾽ εἰς μετριότητα καὶ νόμιμον ἀρχὴν τοὺς δυνάστας προάγουσιν, οἱ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, κ. τ. λ.“ Ὅτι δὲ καὶ ἡ πρώτη τούτων Ἰσοκρ. γέγραπται, ὀκνῶ εἰπεῖν.

2) Πρβλ. Ψευδοπλ. ἐν βίῳ Ἰσοκρ. καὶ ἀνώνυμον ἐν τῇ τοῦ λόγου ὑποθέσει.

3) XV, 40.

οὐχ, ὅπως ἐν τῇ προτέρᾳ, παρ᾽ Ἰσ. λέγεται. „Τὸν μὲν οὖν ἕτερον“, λέγει Νικ. προοιμιαζόμενος ἐν αὐτῇ[1]), „ὡς χρὴ τυραννεῖν Ἰσοκράτους ἠκούσατε, τὸν δ᾽ ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ᾽ ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς[2]).“ Αὗται τοίνυν εἰσὶν αἱ τρεῖς παραινέσεις, ὧν τὰς τελευταίας Θωμᾶς ὁ μάγιστρος ὁδηγοὺς αὐτῷ προστησάμενος τὴν ξυνωρίδα τῶν λόγων αὐτοῦ, τὸν „περὶ βασιλείας“ φημὶ καὶ „περὶ πολιτείας“, ξυνέγραψε, περὶ οὗ βραχέ᾽ ἄττα ἐνταῦθ᾽ εἰπεῖν βούλομαι· πλείονα γὰρ ἄν τις ἐν ταῖς τοῦ Nikolai καὶ Krumbacher Litteraturgeschichten᾽ εὕροι[3]), ὅθεν περιττὸν καὶ ἀσύμφορον ὅλως ἡγησάμεθα τὰ πλεῖστ᾽ εἰς τὴν ἡμετέραν αὐτῶν φωνὴν μετενεγκόντες ἐνταῦθα παραλαβεῖν.

Θωμᾶς ὁ μάγιστρος, τῶν γραμματικῶν τις καὶ πολυϊστόρων γενόμενος, κατ᾽ ἐκείνην δὴ τὴν περίοδον τῆς ἑλλ. Γραμματολογίας ἔζη, ὅτ᾽ ἡ εὐκλεὴς Κωνσταντίνου πόλις πρὸς τῇ πολιτικῇ καὶ πᾶσαν πνευματικὴν ἐν ἑαυτῇ κίνησιν συνῄνου, θέατρον μουσῶν, ὡς εἰπεῖν, καὶ λόγων ἑστία καταστᾶσα, ὅτου δὴ ἕνεκα καὶ πληθὺς λογίων ἐκ δυοῖν ποδοῖν ἐνταῦθ᾽ ἐχώρουν ἐπιδείξεως εἵνεκα καὶ τῶν τοιούτων. Ἡ περίοδος αὕτη ἀπὸ τοῦ αὐτοκράτορος **Ἰουστινιανοῦ** ἀρχομένη καὶ μέχρι τῆς ὑπὸ τῶν **Ὀσμανιδῶν** ἁλώσεως τῆς πόλεως διήκουσα (527—1453) ἡ τῶν **Βυζαντίνων** γνωστὴ ἤδη ἡμῖν περίοδός ἐστι. Ταύτης τοίνυν τῆς περιόδου τοῖς λογίοις καὶ ὁ ἡμέτερος Θωμᾶς συγκαταλέγεται

---

1) § 11.

2) Ἐν τῇ ὑποθέσει τοῦ λόγου ἀναγιγνώσκομεν τάδε· „Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ πρὸς τοὺς ὑπηκόους ἔπεμψε τὸν λόγον Ἰσοκράτης, λέγομεν, ὅτι εἰκότως οὐ δι᾽ ἑαυτοῦ ἀλλὰ διὰ τοῦ βασιλέως αὐτοῖς συμβουλεύει, ἐπειδὴ πλήθει συμβουλεύων ἀνάγκην εἶχε καὶ φόβον κεράσαι τῷ λόγῳ, ἵνα πάντως πεισθῇ τοῖς λεγομένοις τ᾽ πλῆθος.“

3) Nik. III, 249—252., Krumb. 252—4.

περὶ τὸ 1310. ἔτος ἀκμάσας, ὁπότ' Ἀνδρόνικος ὁ Β΄., ὁ υἱὸς καὶ διάδοχος **Μιχαὴλ** τοῦ **Παλαιολόγου**, τοῦ κοινοῦ τούτου εὐεργέτου καὶ νέου Κωνσταντίνου, τὴν αὐλὴν αὑτοῦ πρυτανεῖον παντοδαπῆς παιδείας οἰκειότερον κατεστήσατο. Θεσσαλονικεὺς τὸ γένος ὢν[1]) καὶ ἐκ τοῦ πολιτικοῦ μὲν αὑτοῦ ἀξιώματος μάγιστρος, ἐκ δ' αὖ τοῦ μοναχικοῦ πάλιν, ὃ περὶ τὸ 1327. ἔτος ὑπέδυ, **Θεόδουλος** ἐπικαλούμενος[2]) οὐ πάνυ ἀσήμαντος ἔν τε ταῖς πρὸς τὸν τῶν Παλαιολόγων οἶκον ὑπηρεσίαις καὶ ἐν τῇ συγγραφικῇ αὑτοῦ δεινότητι καταφαίνεται, τῷ κύκλῳ οὕτω **Μοσχοπούλου**, **Θεοδώρου τοῦ Μετοχίτου** καὶ **Νικηφόρου** τοῦ **Γρηγορᾶ** οὐκ ἀπεικότως περιλαμβανόμενος. Τῶν συγγραμμάτων αὐτοῦ, ἅπερ εἰς **Λεξικολογικά**, **Σχόλια** καὶ **Ῥητορικὰ γυμνάσματα** διῄρηται, δυοῖν καὶ μόνοιν μνημονεύω ἐνταῦθα, τῶν γὰρ λοιπῶν οὐ χρῄζω, τοῦ „περὶ βασιλείας“ λόγου καὶ „περὶ πολιτείας“, οὓς ἀμφοτέρους οὗτος, ὃ καὶ ὀλίγῳ πρότερον ἔλεγον, κατὰ μίμησιν τῶν Ἰσ. πρὸς Νικοκλ. τοιούτων ξυνέγραψεν. Ὡς γὰρ ἐκεῖνος ἐν μὲν τῷ πρώτῳ πρὸς Νικοκλέα λόγῳ αὑτοῦ περὶ τῶν τοῦ βασιλεώς καθηκόντων διαλέγεται, ἐν δ' αὖ τῷ ὑστέρῳ περὶ τῶν τῶν ὑπηκόων, οὕτω καὶ Θωμ. ὁ μάγιστρος ἐν μὲν τῷ „περὶ βασιλείας“ λόγῳ αὑτοῦ Ἀνδρονίκῳ τῷ αὐτοκράτορι συμβουλεύει, ἐν δὲ τῷ „περὶ πολιτείας“ καὶ τοῖς ὑπηκόοις τούτου παραινεῖ καὶ διδάσκει· ἀνόητον γὰρ ὅλως ἂν εἴη τὴν μὲν τῶν ἀρχομένων βελτίωσιν παρὰ φαῦλον ἡγεῖσθαι, ἀπὸ δὲ μόνου τοῦ κρατοῦντος τὴν τῆς πόλεως προκοπὴν καὶ ἐπίδοσιν ζητεῖν ἐθέλειν. Τούτων τοίνυν τῶν λόγων ἡ παραβολὴ ἡμῖν καὶ πρὸς ἀλλήλους σύγκρισις ὡς ὑπόθεσις τῆς ἐναισίμου ταύτης διατριβῆς

---

1) Τινὲς Κρῆτα αὐτὸν γενέσθαι λέγουσιν, ἑτέρῳ τινὶ Θωμᾷ ἱερομονάχῳ συγχέοντες. (Πρβλ. Φαβρίκιον, Bibl. Gr. ed. Harl. 6, 184. 185. 417 καὶ 4, 497.

2) Οὐκ ὀρθῶς ἔν τινι τῆς Νεαπόλ. κώδικι (CVI) **Χριστόδουλος** καλεῖται. Christoduli (Thomae) Magistri collectio κ. τ. λ.

υπὸ τοῦ σεβασμίου ἡμῶν καθηγητοῦ ***Iwan von Müller****, ἀνδρὸς περικλεοῦς ἐπὶ σοφίᾳ καὶ φιλέλληνος πάνυ, δέδοται, ἥνπερ ἡμεῖς εἰς τέτταρα κεφ. διελόντες τοῦτο μόνον καθ' ἁπάντων ἐνταῦθ' εἰπεῖν ἔχομεν, ὡς τὴν δυάδα τῶν Ἰσ. λόγων βάσιν λαβόντες οὐ πάνυ καὶ τοὺς λοιπούς, ἔνθα τις τούτου χρεία ὑπεφαίνετο, παρεωράκαμεν.*

Εἰ δέ τι καὶ περὶ ἐκδόσεων τῶν λόγων τούτων δέοι εἰπεῖν, ἀρκείτω τοῦτο ῥηθέν, ὅτι Ἰσ. μὲν τῇ τοῦ ***Benseler*** (1856) *ἐχρησάμην, Θωμ. δὲ πάλιν τῇ τοῦ* ***Migne*** (Patrologia Graeca, *τόμ.* 145.).

Κεφ. Α'.

Τουτὶ τὸ κεφ. εἰς δύο διῄρηται μέρη, ὧν τὸ μὲν ἀνάλυσιν τῶν „περὶ βασιλείας“ λόγων ἀμφοτέρων περιλαμβάνει, τὸ δ' αὖ ἕτερον τῶν „περὶ πολιτείας“ τοιούτων.

Α'. Περὶ βασιλείας.

1.

Προοιμιαζόμενος ἐν τῷ πρὸς Νικοκλ. λόγῳ αὐτοῦ Ἰσ. λέγει,

§ 2. *εἰ δυνηθείην ὁρίσαι ποίων ἐπιτηδευμάτων ὀρεγόμενος καὶ τίνων ἔργων ἀπεχόμενος ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης,*

ὅπερ καὶ ὑπόθεσις τοῦ λόγου ἐστίν[1]). *Οὕτω καὶ Θωμ. ἐν τῷ „περὶ βασιλείας“ λόγῳ αὐτοῦ ἀρχόμενος λέγει·*

449, 13. *ἧς (ἀρετῆς) ἔγωγ' εὖ οἶδα δημαγωγὸν ὡς τάχιστ' ἀποφανῶ (σε), ὁποῖόν τιν' εἶναι δεῖ τὸν κρατοῦντα διεξιών.*

Οὐκοῦν ὑπόθεσις ἀμφοτέρων τῶν λόγων ἡ αὐτή, πῶς δεῖ ὀρθῶς βασιλεύειν καὶ τῷ πλήθει καλῶς χρῆσθαι.

2.

Ὡς δ' ἐν τῷ λόγῳ τούτῳ συμβουλεύων Ἰσ. Νικοκλεῖ καλλίστην δωρεὰν καὶ χρησιμωτάτην ταύτην, τοῦ χρυσοῦ καὶ παντὸς ἄλλου τοιούτου κτήματος προτιμητέαν ἡγεῖται,

§ 1. *Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, τοῖς βασιλεῦσιν ὑμῖν ἐσθῆτας ἄγειν ἢ χαλκὸν ἢ χρυσὸν εἰργασμένον ἢ τῶν*

---

1) *Πρβλ.* καὶ § 6.

ἄλλων τι τῶν τοιούτων κτημάτων, —λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς οὐ δόσιν ἀλλ' ἐμπορίαν ποιούμενοι καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν· ἐγὼ δ' ἡγησάμην ἂν γενέσθαι ταύτην καλλίστην δωρεὰν καὶ χρησιμωτάτην καὶ μάλιστα πρέπουσαν ἐμοί τε δοῦναι καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην κ. τ. λ. [1]),

οὕτω καὶ Θωμ. μεγίστην ταύτην πρὸς βασιλέα χάριν νομίζει·

449, 5. Ἢν γάρ σου, δι' ὧν ἂν ἐγὼ μὲν ὑποθείμην, σὺ δὲ ταῦτ' ἀκούσας εἰς ἔργον ἐξενεγκεῖν ἐθελήσαις, τὸν ἅπαντ' αἰῶνα θαυμαστὴν παρασκευάσω γενέσθαι καὶ τὴν ἀρχὴν τοῖς ἐπαίνοις ἀθάνατον, χαριοῦμαί σοι πολὺ μᾶλλον ἢ εἰ πάντα τὸν ὑπὸ γῆν καὶ ὑπὲρ γῆν χρυσόν, εἴπερ οἷόν τ' ἦν, συνειλοχὼς παρεσχόμην·

εἰκότως· οἱ γὰρ τοὺς βασιλέας παιδεύοντες ἀμφοτέρους ὠφελοῦσι, καὶ τοὺς βασιλεύοντας καὶ τοὺς ἰδιωτεύοντας.

Ἰσ. § 8. εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὀνήσειεν, καὶ τοὺς τὰς δυναστείας ἔχοντας καὶ τοὺς ὑπ' αὐταῖς ὄντας.

Θωμ. 449, 15. καὶ σοι δοὺς ἀφορμάς, δι' ὧν αὐτός τ' ἔσῃ καλὸς κἀγαθός, καὶ οἷος οὐ τοῦ προσρήματος μόνον ἀλλὰ καὶ τοῦ τετιμηκότος ἀξιόχρεως εἶναι Θεοῦ, τούς τ' ἀρχομένους τοιούτους δή τινας ἕξεις, κ. τ. λ.

3.

Πρῶτον μὲν οὖν σκεπτέον, τί βασιλεία ἐστί. Βασιλεία μέγιστόν τι ἐστι καὶ πλείστης προνοίας δεόμενον.

Ἰσ. § 6. ὃ (ἡ βασιλεία) τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι καὶ πλείστης προνοίας δεόμενον [2]).

§ 37. ἐν πᾶσι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας καὶ φρόντιζ', ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης πράξεις.

Θωμ. 465, 32. ἅτε κοινὸς ἁπάντων μελεδωνὸς καὶ προστάτης.

468, 56. πᾶν γὰρ ὅ, τι πότ' ἂν ἔξω τῆς κοινῆς ὠφελείας ἐργάσηται βασιλεύς, ὡς ἰδιώτης οὐχ ὡς βασιλεὺς

---

1) Πρβλ. καὶ § 53.

2) Πρβλ. καὶ III, 31.

ἐργάσεται· εἴπερ ὁ μὲν ἀνάγκην ἴσχει πάντων φροντίζειν, ὁ δέ γε τοῦ καθ' αὑτόν, καὶ ὁ μὲν οὐκ ἂν εἰς εὐθύνην ἥκοι, τῷ δ', ἐπεὶ πάντων προΐσταται καὶ πάντες εἰς αὐτὸν ἀφορῶσι, πᾶς τις ἂν ἐγκαλέσαι δικαίως, ὅτι τὸ πάντων φροντίζειν ἀφεὶς ὁ δὲ τῶν αὑτοῦ λόγον ποιεῖται, καὶ τὴν κοινὴν ἁπάντων πρόνοιαν ἀπορρίψας οἷς ἀντέχηται τῶν οἰκείων ἀρνεῖται τοὔνομα, καλεῖσθαι μὲν βασιλεὺς ἀξιῶν, πράττων δ' ἃ μὴ τὸν τοιοῦτον εἰκός. -- καὶ βασιλεὺς τοίνυν οὐδὲν ἄλλο τυγχάνει γ' ὢν ἢ πάντων ἀνθρώπων ὧν ἔλαχε προστάτης καὶ φροντιστὴς ἐσαεί. — καὶ Ὅμηρος οὐχ ἁπλῶς ποιμένας λαῶν λέγει τοὺς βασιλέας, ἀλλ' ὥστε τὸ ἄγρυπνον καὶ κηδεμονικὸν αὐτῶν ἐνδεδεῖχθαι, καὶ ὅσον ὑπὲρ ὧν προστατοῦσιν ὀφείλουσιν ἔχειν,

καὶ 13. μᾶλλον δ' οὕτω ταῦτα βασιλικῆς μεγαλοπρεπείας ἀλλότρια.

481, 7. πῶς οὐκ ἀτεχνῶς βίαιον ἢ πῶς οὐκ ἔξω τῆς παρ' ὑμῶν ὀφειλομένης τουτοισὶ (τοῖς ὑπηκόοις) προμηθείας;

Αὕτη καὶ τιμῶν μὲν οὐ σμικρῶν ἀπολαύει, ἀλλὰ καὶ κινδύνοις καὶ φόβοις οὐ τοῖς τυχοῦσιν ὑπόκειται.

Ἰσ. § 5. ἐπειδὰν δ' ἐνθυμηθῶσι τοὺς φόβους καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι τοὺς μὲν ὑφ' ὧν ἥκιστα χρῆν διεφθαρμένους, τοὺς δ' εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δ' ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται (οἱ ἰδιῶται) λυσιτελεῖν μᾶλλον ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν.

Θωμ. 500, 6 (περὶ ἀρχόντων καθόλου τοῦ λόγου ὄντος)· ἀλλὰ καὶ τὴν ψυχὴν ἂν ὑπὲρ αὐτῶν, εἰ δεήσῃ, προέσθαι, ὀφείλοντας μὲν τούτοις ταυτηνὶ τὴν φορὰν τῆς συνεχοῦς εἵνεκ' αὐτῶν ἀγρυπνίας καὶ τῶν φροντίδων καὶ τοῦ πάντα πόνον καὶ κίνδυνον ἑκάστοθ' ὑπὲρ τούτων αἱρεῖσθαι διὰ τὸ τῆς ἀρχῆς ἠναγκάσθαι.

Οἱ πλεῖστοι ὅμως τῶν ἀνθρώπων τὴν σπουδαιοτάτην αὐτῆς ἔννοιαν ἀγνοοῦντες τὴν βασιλείαν ὥσπερ τι τῶν ἄλλων παντὸς ἀνδρὸς εἶναι νομίζουσι. Βασιλεὺς καλεῖται ὁ ἄρχειν εἰδώς [1]),

---

1) **Ξενοφ.** Κύρ. παιδ. I, 1, 3· "οὔτε τῶν ἀδυνάτων οὔτε τῶν

Θωμ. 448, 8. *ἐπεὶ δὲ τόθ' ὡς ἀληθῶς ἄρχει τις, ὅταν αὐτὸς οὗτος καὶ πάντες ὁμοῦ τοῖς καλοῖς χεῖρ' ἐπιβάλλῃ.*

449, 31. *μέλει δ' εὖ οἶδα παντὸς μᾶλλον, εἴπερ τοῦ κάλλιστα καὶ ὡς ἀληθῶς ἄρχειν μάλιστα μέλει (σοι),*

καὶ 44. *πειρᾶσθαι παντὶ θυμῷ —— τὴν ἀρχὴν εὖ τε καὶ ὡς ἐχρῆν διοικεῖν.*

Ἰσ. § 26. *ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους,*

ὃς καὶ μόνος τελέως εὐδαιμονεῖν δύναται.

Θωμ. 449, 47. *καὶ μέγα νομίζειν οὐκ εἰ βασιλεύεις ἁπλῶς, ἀλλ' εἰ καλῶς βασιλεύεις, οὐδ' εἰ τῆς ἁλουργίδος ἠξίωσαι καὶ τοῦ σκήπτρου, ἀλλ' εἰ κοινωνὸς ἔσῃ τῶν Ὀλύμπου πραγμάτων, οὐδ' εἰ θαυμαστὰς ἔχεις ἀνθρώπους, ἀλλ' εἰ μετὰ τούτων καὶ πρὸ τούτων ἐπαινέτην ἕξεις Θεόν.*

Ἰσ. § 26. *καὶ νόμιζε τελέως εὐδαιμονήσειν, — αν τοιοῦτος ὢν οἷον χρὴ καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι μετρίων ἐπιθυμῇς καὶ μηδενὸς τούτων ἀτυχῇς.*

Τίς δ' ἡ ἀπόδειξις τοῦ καλῶς βασιλεύοντος;

Ἰσ. § 31. *σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἂν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.*

Θωμ. 464, 45. *Χρηστοῦ μὲν ἔστι βασιλέως καὶ μάλ' ἀπόδειξις ἐναργὴς τὸ πάσας πόλεις ὡς κάλλιστα διοικεῖσθαι.*

4.

Ἣν τοίνυν ἔθεμεν τοῦ βασιλέως ἀξίαν, ἂν μὲν μαθήσεως προσηκούσης τύχῃ, εἰς πᾶσαν ἀρετὴν ἀνάγκη ἀφικνεῖσθαι, εἰ δὲ μή, εἰς πάντα τἀναντία αὖ. Οὐκοῦν, εἴπερ αὐτῷ τοῦ κάλλιστα καὶ ὡς ἀληθῶς ἄρχειν μέλει, ἀνάγκη πᾶσα τὸν βασιλέα τό τε σῶμα καὶ τὴν ψυχὴν αὑτοῦ μάλιστα πάντων ἀσκεῖν, παιδεύοντά τε τελεώτατα καὶ ἐπιμελούμενον αὐτῶν.

χαλεπῶν ἔργων (ἐστὶ) τὸ ἀνθρώπων ἄρχειν, ἂν τις ἐπισταμένως τοῦτο πράττῃ."

Θωμ. 460, 1. *ἀσκητέον ἂν εἴη σοι μάλιστα διὰ ταῦτα τήν τε ψυχὴν τό τε σῶμα.*

Ἰσ. § 11. *ὥστ' οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν ὡς τοῖς βασιλεύουσι τὴν ψυχὴν τὴν αὑτῶν.*

Καὶ περὶ μὲν τοῦ σώματος πόνους συνεχεῖς, γυμνάσια πολεμικὰ καὶ τὰ τοιαῦτα παρὰ Θ. βλέπομεν,

460, 3. *τὸ μὲν (σῶμα) συνεχέσι πόνοις καὶ γυμνασίοις πολεμικοῖς, νῦν μὲν ἐπὶ θήρας ἐξίοντι καὶ συμπλοκὰς ἄρκτων τε καὶ συῶν καὶ ὧν ἔξεστι, κ. τ. λ.,*

παρὰ δ' Ἰσ.

§ 32. *τρύφα μὲν ἐν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δ' ὡς χρὴ τοὺς βασιλεύοντας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν,*

περὶ δὲ τῆς ψυχῆς παρ' ἀμφοτέροις ταὐτόν.

Θωμ. 460, 8. *ἀλλὰ μὴν καὶ τὴν ψυχὴν μάλιστ' ἂν ἐργάσαιο καλὴν καὶ γενναίαν καὶ τοῦτ' αὐτὸ μένος πνείουσαν καὶ ὅλως ἡρωικήν, ἐάν, οὓς ἐπ' εὐψυχίᾳ καὶ ἔργοις ἀρίστοις τε καὶ μεγίστοις θαυμάζειν ἔχομεν τῶν ἀρχαίων, πρὸς τούτους σαυτὸν ἀπευθύνῃς τῇ καθ' ἡμέραν μελέτῃ, καὶ τῷ τοῖς ὑπὲρ αὐτῶν λόγοις ἡδέως συνεῖναί τε καὶ συζῆν.*

492, 21. *σὺ δὲ καὶ οὕτως ἔσῃ σοφός, —— τό γε σοφοῖς συνεῖναι καὶ διαλέγεσθαι πολλοῦ τινος ἄγων· ἐπεὶ καὶ σοφοὶ τύραννοι τῇ σοφῶν συνουσίᾳ, φασὶν οἱ σοφοί.*

Ἰσ. § 13. *καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου, καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής, καὶ παρασκεύαζε σαυτὸν τῶν μὲν ἐλαττόνων κριτήν, τῶν δὲ μειζόνων ἀγωνιστήν.*

IX, 41. *Θαυμάζων (Εὐαγόρας) δ' ὅσοι τῶν μὲν ἄλλων ἕνεκα τῆς ψυχῆς ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ ταύτης μηδὲν τυγχάνουσι φροντίζοντες.*

Διὰ τούτων καὶ μόνων τῶν γυμνασίων, λέγει Θ. πρὸς Ἀνδρόνικον,

460, 17. ὁμοῦ μὲν ἐρρωμένος ἂν εἴης καὶ τοῖς ὅλοις εὖ ἔχων, ὁμοῦ δὲ καὶ τῶν πολεμικῶν ἄκρως τεχνίτης καὶ μηδὲν ἔλαττον ἔχων τῶν γεγηρακότων ἐν μάχαις,

καθάπερ καὶ Ἰσ. πρὸς Νικοκλέα·

§ 13. τάχιστ' ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύσοντα καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα.

Ἔτι δὲ πρὸς τούτοις χρὴ τὸν βασιλέα προσεκτικῶς καὶ ἐπιμελῶς ἔχειν καὶ ἀείποτε βελτίω γίγνεσθαι, γιγνώσκονθ' ὅτι τοιαύτην τὴν βασιλείαν ἕξει, οἵαν ἂν τὴν αὐτοῦ γνώμην παρασκευάσῃ.

Ἰσ. § 10. καὶ μὴν ἐκεῖνό γε φανερόν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους καὶ περὶ τηλικούτων βουλευομένους μὴ ῥαθυμεῖν μηδ' ἀμελεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων.

§ 20. ἡγοῦ δὲ τοῦτο θῦμα κάλλιστον εἶναι καὶ θεραπείαν μεγίστην, ἂν ὡς βέλτιστον — σαυτὸν παρέχῃς.

§ 29. ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τ' ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

IX, 41. ἡγούμενος μὲν (Εὐαγόρας), εἰ καλῶς τὴν αὑτοῦ φρόνησιν παρασκευάσειε, καλῶς αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν.

Θωμ. 465, 26. οὐ μὴν τούτοις (τοῖς λοιποῖς ἄρχουσιν) ἐπιτετραφότα τὸ πᾶν ῥαθυμότερόν πως αὐτὸν χρὴ διακεῖσθαι, οὐδ' οὕτως ἐρραστωνευμένως δι' αὐτοὺς τοῖς πράγμασι χρῆσθαι, κ. τ. λ.[1])

493, 48. διόρθωσαι τοίνυν ἐν τούτοις σαυτὸν καὶ ποίησον διὰ πάντων βελτίω.

5.

Οὕτω τοίνυν ἔχων ὁ βασιλεὺς περὶ πολλοῦ ποιήσεται πόλιν τε δυστυχοῦσαν παῦσαι καὶ καλῶς πράττουσαν διαφυλάξαι καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι, ὅπερ ἔργον τῶν βασιλευόντων ἐστί, παντοίοις καὶ ποικίλοις νόμοις καὶ διατάξεσι χρώμενος.

---

1) Πρβλ. καὶ 520, 21., ἔνθα περὶ τῶν λοιπῶν ἀρχόντων ὁ λόγος.

Ἰσ. § 17. *Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα, καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα.*

Θωμ. 476, 49. *προθυμοῦ πᾶσιν οἷς ἔξεστι τὴν ἀρχὴν συνιστάναι τε καὶ συναύξειν, τὰ μὲν καλῶς ἔχοντα βελτίω ποιῶν, τὰ δ' αὖ ὡς ἑτέρως ἐπανορθούμενος τοῖς παρὰ σαυτοῦ καὶ ὅλως πανταχόθεν τὸ κοινῇ παρασκευάζων ξυνοῖσον.*

6.

Ἄρχεσθαι μὲν οὖν τὸν βασιλέα χρὴ ἀπὸ τῆς καλῆς τῶν λοιπῶν ἀρχόντων ἐκλογῆς, ὅπερ ἓν τῶν πρώτων καὶ μεγίστων χρηστῆς πολιτείας στοιχείων ἐστίν. Ἀρχόντων δεῖ τοίνυν αὐτῷ χρηστῶν καὶ πάντ' ἐπὶ τῷ σῴζεσθαι τὰς πόλεις καὶ πλεῖστον πρὸς ἀρετὴν τοῦ λοιποῦ ἐπιδιδόναι ποιούντων·

Θωμ. 464, 47. *τοῦτο δὲ (τὸ πάσας πόλεις ὡς κάλλιστα διοικεῖσθαι) οὐκ ἂν εἴη μὴ τῶν ἄρχειν λαχόντων πρὸς ἀρετὴν εὖ ἡρμοσμένων· — μετὰ τοσαύτης ἀκριβείας τὰς ἀρχαιρεσίας ποιεῖσθαι δεῖ, ἐν αἷς τό τε χεῖρον τό τ' ἄμεινον κινδυνεύεται, ὡς μὴ ὅτι τοὺς κατὰ γένος σοι διαφέροντας οὐδὲ τοὺς ἀπὸ μεγάλων τιμημάτων καὶ βαθέων οἴκων, ἀλλὰ τοὺς ἐπιεικεστάτους τὰς φύσεις καὶ τοῦ καλοῦ διὰ πάσης ἰδέας ἥκοντας ἐξ ἀνάγκης αἱρεῖσθαι καὶ τούτους τοῖς πράγμασιν ἐφιστάναι.*

465, 19. *ἀρχόντων δεῖ σοι χρηστῶν καὶ μὴ ψευδομένων τοὔνομα, μηδ' οἷς ἀνθρώπων ἄρχειν δοκοῦσιν αὐτῶν ὑπὸ λημμάτων καὶ οὐ καλῶν ἐπιθυμιῶν ἀρχομένων.*

Ἰσ. § 16. *ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι — τὰς τιμὰς ἕξουσι.*

§ 27. *Φίλους κτῶ —, μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις* [1]).

III, 21. *καὶ τιμῶσιν (οἱ ἄρχοντες) — τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους·*

---

1) *Πρβλ. καὶ* § 50.

ἅς ἄλλως γ' ἐχόντων οὐδὲ τὰς πόλεις οὐδοπωστιοῦν εὖ ἔχειν οἷόν τε καὶ τὸν βασιλέα, κἂν πάντ' ἄριστος ᾖ, κακῶς ὑπὸ τῶν ἄλλων ἀνάγκη πᾶσα ἀκούειν.

Ἰσ. § 27. *ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι.*

Θωμ. 465, 8. *διὰ δὲ τοὺς οὐ καλῶς τῶν πραγμάτων ἐπιστατοῦντας ἃ μὴ προσῆκε νομιζόμενον καὶ λεγόμενον.*

7.

Φίλους δέ, ὃ μέγιστον τῶν ἀγαθῶν εἶναί φασιν, πιστοὺς καὶ χρησίμους τοὺς βασιλέας ἔχειν καὶ οὐ κόλακας ἥδιστον ἅμα καὶ λυσιτελέστατον πάντων.

Ἰσ. § 27. *ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων.*

§ 28. *διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας —· ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων καὶ πειρῶ γνωρίζειν ἅμα τούς τε λέγοντας, ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσιν.*

Θωμ. 472, 39. *Σκόπει δ', ὅση σοι δύναμις, ὅπως μὴ φίλους οἰόμενος ἔχειν ἔπειτα λάθῃς κολακευόμενος καὶ σαυτὸν οἷς οὐκ ἔδει διδοὺς ἐν τῷ δοκεῖν ἃ προσῆκεν αἱρεῖσθαι.*

Τίνες δ' οὗτοι εἰσί; Πιστοὶ καὶ καλοὶ φίλοι εἰσὶν οὐχ οἱ τοὺς λόγους καὶ τὰ ἔργα τῶν ἄλλων πάντοτ' ἐπαινοῦντες, οὐδ' οἱ πρὸς χάριν ὁμιλοῦντες καὶ πρὸς τὸ φαυλότατον ἀείποτε χαριζόμενοι, ἀλλ' οἱ διορθοῦντες καὶ ἐπιτιμῶντες ἑκάστοτε τοῖς ἁμαρτανομένοις.

Θωμ. 472, 42. *Οὐδὲ γὰρ τοῖς τὰ σὰ δήπου στέργειν τε καὶ φιλεῖν μάλιστα διατεινομένοις πιστεύειν ἁπλῶς ἅπασι χρὴ καὶ τὴν αὐτὴν περὶ τούτων δόξαν κεκτῆσθαι, ἀλλ' οὓς μὲν ἂν ἴδῃς ἐπὶ μὲν τοῖς σοῖς ἀγαθοῖς ἡδομένους, ἐπὶ δὲ τοῖς οὐχ οὕτως ἔχουσιν ἀχθομένους, καὶ τὰ μὲν ἐπαινοῦντας, τοῖς δ' ἐλευθέρως ἐπιτιμῶντας καὶ συμβουλεύοντας τὰ βελτίω, — τούτους καὶ φίλους πάντως ἡγεῖσθαι καὶ ὡς ἑταιροτάτοις — χρῆσθαι.*

Ἰσ. § 28. πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ, τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας [1]).

Τοιούτους φίλους κεκτῆσθαι κάλλιστος καὶ λυσιτελέστατος τυγχάνει πλοῦτος· τοὺς δὲ τῶν πάντων ἐπαινέτας καὶ τοὺς αὐτοὺς ἐν ἅπασιν ὄντας καὶ πρὸς τὸ λαβεῖν παντάπασι κεχηνότας τούτους συμβουλεύει Θ.

472, 56. ἀτεχνῶς μετὰ τῶν κολάκων ἀποστρέφεσθαι καὶ μισεῖν καὶ τῆς ἀρχῆς νομίζειν δεκέλειαν.

473, 10. τοὺς μὲν οὕτως ἔχοντας χαίρειν ἐᾶν καὶ σαυτοῦ πάνυ τοι πόρρω ποιεῖν.

Οὕτω καὶ Ἰσ. I, 30. μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας.

Τοὺς καλοὺς φίλους "φυλακὴν ἀσφαλεστάτην τοῦ σώματος" Ἰσοκρ. ἡγεῖται [2]), Θωμ. δὲ πάλιν "ὥσπερ τινὰς αἰσθήσεις τοῦ τῆς ἀρχῆς σώματος", δι' ὧν πάνθ' ὁρᾶν καὶ πάντ' ἀκούειν ἐστί [3]). Καὶ τοιούτους ὅμως φίλους ἔχοντος ἀνάγκη τὰς διαφόρους τοῦ βασιλέως βουλὰς ἀγνώστους τοῖς ἄλλοις εἶναι καὶ μηδένα τῶν πολλῶν ταύτας ξυνειδέναι.

Θωμ. 472, 17. Καὶ μὴν οὐ τὸ βουλεύεσθαι μόνον περὶ τῶν μεγίστων ἀπόχρη, ἀλλὰ καὶ τὸ τὰ βεβουλευμένα πρὶν ἢ πεπράχθαι λανθάνειν τοὺς ἄλλους προσεῖναι δεῖ.

Ἰσ. § 20. τίμα — ταῖς ἀληθείαις αὐταῖς τοὺς εὐνουστάτους τῶν φίλων.

8.

Ἓν τῶν πρώτων τοῦ βασιλέως ἔργων ἡ περὶ τοὺς θεοὺς εὐσέβειά ἐστι.

Ἰσ. § 20. Τὰ πρὸς τοὺς θεοὺς ποίει — ὡς οἱ πρόγονοι κατέδειξαν.

Θωμ. 449, 52. πρὸς ὃν (Θεὸν) ὡς κοινὸν ἁπάντων δήπου δεσπότην καὶ κηδεμόνα τοσαύτην καὶ τηλικαύτην ὀφείλεις εὔνοιαν ἴσχειν, ὅσην ἀξιοῖς τοὺς ἄλλους ἴσχειν

---

1) Πρβλ. καὶ § 3.
2) § 21.
3) 473, 13.

πρὸς σέ, καὶ οὕτω διακείμενος εἶναι, ὡς μηδὲν ἔξω τῶν ἐκείνῳ δοκούντων μήτ' οὖν ποτε δρᾶν μήτε βουλεύειν ὅλως αἱρεῖσθαι, ἀλλ' ἐν ἅπασιν ἡγεμόνα τοῦτον ποιεῖσθαι.

Αὕτη δ' ὅμως οὐ μόνον τῶν βασιλευόντων, ἀλλὰ καὶ παντὸς ἄλλου ἔργον ἐστίν, ὅτου δὴ ἕνεκα Ἰσοκρ. πολλαχοῦ τῶν λόγων αὐτοῦ ταύτην συνίστησι,

I, 13. *πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς.*

§ 16. *τοὺς μὲν θεοὺς φοβοῦ.*

III, 2. *τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν.*

§ 9. *τοὺς τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούντων ὁμοίως ἄξιον μισεῖν ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν ἐξαμαρτάνοντας.*

XII, 204. *οὐδεὶς γὰρ ὅστις οὐ τῶν ἐπιτηδευμάτων προκρίνει τὴν εὐσέβειαν τὴν περὶ τοὺς θεούς* [1]),

ὥσπερ καὶ Θωμ. πάντοτ', ὡς εἰπεῖν, μνείαν περὶ Θεοῦ ποιεῖται.

449, 17. *ἀλλὰ καὶ τοῦ τετιμηκότος ἀξιόχρεως εἶναι Θεοῦ.*

469, 37. *ἀλλὰ καὶ μιμητὴν ἀποφαίνει Θεοῦ.*

477, 33. *μὴ χορηγοῦντος Θεοῦ,*

καὶ 43. *καὶ πρὸς Θεὸν ὡσπερεὶ διὰ τούτων ἀνταίροντες χεῖρα.*

496, 15. *κοινωνοὶ Θεοῦ γεγονότες τὸ ἐξ ἀρχῆς — καὶ πειρᾶσθαι διὰ πάντων, ὡς οἷόν τε, τὸ ἐν ἡμῖν θεῖον ἀνάγειν ἐπὶ πρωτόγονον θεῖον, ἵν', ὃν διὰ ῥαθυμίας ἀπωλέσαμεν οἴμοι! Θεόν, τοῦτον αὖ διὰ σπουδῆς εὑρεῖν δυνηθῶμεν* [2]).

9.

Πρῶτον ἑαυτοῦ ὁ βασιλεὺς ἄρξει καὶ εἶτα τῶν ἄλλων, ζῶν βίον κόσμιον οὐχὶ δ' ὑγρόν τε καὶ ἀνειμένον καὶ χαμᾶζε φέροντα.

---

1) *Οὕτω καὶ ἐν* VIII, 135. — IX, 28. 38. — XI, 24. — XII, 124.

2) *Οὕτω καὶ ἐν* 449, 51. — 453, 3. 27. 30. — 456, 10. 22. — 476, 15. — 477, 31. 36. 38. — 480, 43. 51. — 489, 18. — 492. 36. — 493, 34. — 497, 2. — 501, 30. 39. — 504, 24. 36. 37. 42. — 505, 42. 43. 45. 48. — 513, 29. — 517, 18. 25. 51. — 533, 57. — 536, 36. 40.

Ἰσ. § 29. *Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ βασιλικώτατον, ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν.*

§ 31. *μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως.*

Πρβλ. ὅσα ἐν τῷ III *λόγῳ* (§ 36. *καὶ ἑξ.*) *παρὰ Νικ. περὶ σωφροσύνης λέγεται, ὅθεν τινὰ καὶ ἐνταῦθα μετενήνεκται.*

§ 36. *ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλησιακὼς πλὴν τῆς ἐμαυτοῦ γυναικός.*

§ 44. *τούτων ἕνεκα καὶ ταῦτα διανοηθεὶς περιττοτέρως τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην.*

IX, 45. *ἡγούμενος τῶν ἡδονῶν* (*λέγει Εὐαγόρας*) *ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν.*

Θωμ. 449, 59. *Ἔπειτα πρὶν ἢ τῶν ἄλλων βασιλεύειν σαυτῷ βασιλεύειν ἐθέλειν ἄρχων παθῶν.*

452, 7. *ὃς δ' ἡδοναῖς καθάπαξ δουλεύων ἀνθρώπων προστατεῖν οἴεται δεῖν, οὗτος οὐ μόνον λέληθεν ἑαυτὸν ἐν μὲν τοῖς μεγίστοις δουλεύων, ἐν δὲ τοῖς ἥττοσιν ἄρχων, ἀλλὰ καὶ δούλου παντὸς ἀργυρωνήτου προσέχοντος ἀρετῇ παντάπασίν ἐστι χείρων, κ. τ. λ. — τὸ δ' αὖ τῶν ἄλλων μόνον κρατεῖν, ἑαυτοῦ δὲ μή, οὐδ' ἔστιν ὅλως κρατεῖν, ἀλλὰ δουλεύειν ὡς αἴσχιστα καὶ παντοδαποῖς πάθεσιν αἰσχρῶς ὑποκεῖσθαι, δεσπόζοντα μὲν ἀνθρώπων, οἴκοθεν δὲ δεσποζόμενον* [1]).

10.

Μετὰ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν τὴν δικαιοσύνην ὡς πλείστου τῶν ἀρετῶν ἀξίαν Ἰσ. συνίστησι,

III, 7. *καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν.*

VIII, 35. *πάντων δ' ἀλογώτατον πεπόνθασιν, ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστερον τὴν δικαιοσύνην τῆς ἀδικίας, κ. τ. λ.*

---

1) *Πρβλ. καὶ* 465, 52. — 521, 27.

XII, 204. *οὐδεὶς γὰρ ὅστις οὐ τῶν — ἐπιτηδευμάτων προκρίνει — καὶ τὴν δικαιοσύνην τὴν περὶ τοὺς ἀνθρώπους*[1]),

καθάπερ καὶ Θωμ. φιλοσοφῶν ἔστιν ὅτ' ἐπ' αὐτῆς.

480, 9. *ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, φησὶ Δημοσθένης, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρόταt' εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει.*

513, 49. *Εἰ γὰρ τὸ τὰ δίκαια πράττειν ἃ δεῖ πράττειν ἐστί, τὸ δὲ πράττειν ἃ δεῖ φρενῶν εὖ ἔχειν ἐστίν, ὁ τὰ δίκαια πράττων καὶ φρονῶν εὖ οὗτος ἂν εἴη δίκαιος· οὐκοῦν οὔτε δικαιοσύνην ἀσκεῖν οἷόν τε φρονήσεως ἄνευ· — ἕως μὲν ἂν χρῆται (τῇ δικαιοσύνῃ), καὶ τοῦ γε φρονεῖν μέτεστ' αὐτῷ· ἐπειδὰν δὲ παλινῳδίαν ᾄσῃ τοῖς τρόποις καὶ μετὰ τῶν ἀδικούντων γένηται, τηνικαῦτ' οὐδὲ φρονεῖν ὅλως φήσαιμ' ἂν ἔγωγε τοῦτον τοῦτο τὸ μέρος. — Καὶ τί δεῖ ταῦτα λέγειν; — ἧς (θείας ῥοπῆς) οὐχ ὅπως ἀποστεροῦσιν ἑαυτούς, ἀλλὰ καὶ κινοῦσιν εὖ μάλα καθ' ἑαυτῶν οἱ προσέχοντες ἀδικίᾳ.*

517, 12. *ἡ δὲ (δικαιοσύνη) —, ἅτε θεοφιλὴς οὖσα καὶ τοῦ παντὸς αὐτῷ τιμωμένη, οἷά τ' ἐστὶ τοὺς χρωμένους καὶ ἐκ πυρὸς ἂν αἰθομένοιο καὶ ὅτου τις ἂν φῇ δυσχεροῦς εὐχερῶς ἀφαρπάζειν*[2]).

Εἰκότως· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων καὶ εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσιν.

Ἰσ. VIII, 34. *τοὺς δὲ μετ' εὐσεβείας καὶ δικαιοσύνης ζῶντας ἔν τε τοῖς παροῦσι χρόνοις ἀσφαλῶς διάγοντας καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχοντας.*

Θωμ. 480, 3. *πότερον ὅσιον καὶ λυσιτελὲς μετ' ἀγαθῶν τῶν ἐλπίδων καὶ τοῦ καλοῦ καὶ δικαίου πρὸς ταῦτα χωρεῖν ἢ τῶν ἀδικιῶν μεγίστῃ χρωμένους;*

484, 4. *μετὰ χρηστῶν τῶν ἐλπίδων ἐνθένδ' ἀπιέναι.*

---

1) *Πρβλ. καὶ* I, 38. — XII, 124.

2) *Πρβλ. καὶ* 473, 52.

Ταύτην τοίνυν καὶ ὁ βασιλεὺς ἔν τε τοῖς λόγοις καὶ τοῖς ἔργοις αὐτοῦ ἀσκήσει· δικαιοσύνη γὰρ τὸ ἕτερον τῶν πρώτων καὶ μεγίστων στοιχείων χρηστῆς πολιτείας ἐστίν.

Ἰσ. § 16. *οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται.*

§ 20. *ἂν ὡς βέλτιστον καὶ δικαιότατον σαυτὸν παρέχῃς.*

III, 35. *φανήσομαι γὰρ (λέγει Νικ.) οὐδένα μὲν πώποτε ἀδικήσας· — καίτοι χρὴ τοὺς μέγα φρονοῦντας ἐπὶ δικαιοσύνῃ — τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὑτῶν.*

§ 45. *οὕτω δίκαιον ἐμαυτὸν παρέσχον*[1]).

Θωμ. 453, 60. *καὶ ὅπως τὴν ἀρχὴν ὡς κάλλιστα καὶ δικαιότατα πάντων δοκῇς ἀνῃρῆσθαι.*

456, 26. *ἀλλὰ καὶ ὅπως μηδεισοῦν ἀδικήσεται τῶν ἁπάντων,*

καὶ 52. *μὴ μόνον πᾶσιν ἀδικουμένοις αὐτὸς καὶ κατὰ πάντα χρόνον ἐκκεῖσθαι καὶ οὕτω τάχιστ' αὐτοῖς χεῖρα ὀρέγειν —, ἀλλὰ καὶ τοῖς ἑκάστων πᾶσι κηρύξαι θαρρεῖν, ὡς οὐδεὶς τὸ παράπαν ἀδικούμενος ἔσται, ἕως ἂν βασιλεύων αὐτὸς ᾖς.*

473, 44. *ἂν δὲ — μόνου τοῦ καλοῦ καὶ δικαίου φροντίσῃς, πάντων ἀνδρῶν ἄριστος εἶναι (δόξεις)*[2]).

11.

Περὶ ἀρετῆς δὲ καθόλου ἀμφότεροι, Ἰσ. τε καὶ Θωμ., πολὺν λόγον ποιοῦνται[3]).

Ἰσ. I, 5. *ἧς (ἀρετῆς) οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι.*

III, 47. *μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή.*

X, 54. *καὶ τὴν ἀρετὴν διὰ τοῦτο μάλιστ' εὐδοκιμοῦσαν, ὅτι κάλλιστον τῶν ἐπιτηδευμάτων ἐστί*[4]).

---

1) *Πρβλ. καὶ* II, 17. 18. 19. — III, 13. 32. 34. — IX, 23. *καὶ ἑξ.* 38.

2) *Πρβλ. καὶ* 456, 38. — 457, 2. 11. — 480, 40. — 520, 7. 42.

3) *Διον. Ἰσ.* 4· "*κράτιστα γὰρ δὴ παιδεύματα πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἐστὶν εὑρεῖν λόγοις.*"

4) *Πρβλ. καὶ* I, 7. 46.

Θωμ. 449, 12. *ἀρετὴ δ' οὕτω κατὰ παντὸς ἵσταται χρόνου, ὥστ' οὐκ ἔστιν ὅτ' οὐκέτι λόγος αὐτῆς.*

505, 41. *οὐδὲν γὰρ μακαριώτερον ἀρετῆς καὶ τοῦ κατ' αὐτὴν πολιτεύειν.*

508, 44. *ἀλλὰ καὶ ἀρετῆς, ἧς οὐδὲν τιμιώτερον* [1]).

Ταύτην τοίνυν καὶ τὸν βασιλέα μάλιστα πάντων ἀσκεῖν καὶ διὰ βίου παντός, ὡς οἷόν τε, μετιέναι πολλὴ ἀνάγκη· οὐδὲν γὰρ οὔτε πρὸς δόξαν οὔτε πρὸς ἃ δεῖ πράττειν οὐθ' ὅλως πρὸς εὐδαιμονίαν καὶ αὐτοῦ καὶ τῆς πόλεως ἁπάσης τηλικαύτην συμβάλοιτο δύναμιν, ὅσην περ ἀρετὴ καὶ τὰ μέρη ταύτης·

Θωμ. 476, 16. *ἀπέχεσθαι μὲν καθάπαξ κακίας, ἔχεσθαι δ' ἀρετῆς.*

485, 57. *μᾶλλον δ' οὕτως εἰς σεαυτὸν ἅπαντας ἕλξεις, εἰ — καλὸς εἶ κἀγαθὸς καὶ ἀρετὴν ἄκρως ἀσκῶν.*

'Ισ. § 30. *Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι.*

§ 36. *βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον ἢ τοῦ σώματος καταλιπεῖν·*

χωρὶς δὲ τούτου, οὐδεὶς τοσούτῳ ταῖς τιμαῖς τῶν ἄλλων προέχει, ὅσῳ περ αὐτός.

Θωμ. 496, 26. *οὕτως ἀρετῆς ἐξ ἀνάγκης ἅπασι δεῖ, βασιλεῖ μέντοι καὶ πολλῷ πλέον· ὅσον γὰρ ἁπάντων κατὰ τὸ σχῆμα προέχει, τοσοῦτο κατ' ἀρετὴν αὐτὸν προὔχειν χρεών.*

'Ισ. § 11. *Ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις.*

III, 38. *ἔπειτα καὶ προσήκειν ἡγησάμην (λέγει Νικ.) τοσούτῳ τοὺς βασιλέας βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳ περ καὶ τὰς τιμὰς μείζους αὐτῶν ἔχουσι* [2]).

---

1) *Πρβλ. καὶ* 493, 5. — 496, 12.

2) *Πρβλ. καὶ* I, 15. — II, 21. — III, 29. 30. 41. 43. — VIII, 63. — IX, 65. — XII, 204. 217., *ἔνθ' ἱκανὸν 'Ισ. περὶ ἀρετῆς καὶ τῶν μερῶν αὐτῆς λόγον ποιεῖται, ὥσπερ καὶ Θωμ. ἐν τῷ ΝΑ'. κεφ.*

12.

Ἐν τοῖς τοῦ σώματος γυμνασίοις Θ. μνείαν κἀκείνου ποιεῖται·

460, 5. νῦν δὲ μετ' ἀνδρῶν εὖ εἰδότων μάχης καὶ τοιούτους δή τινας καὶ τοὺς ἄλλους εὖ μάλα ποιεῖν δυναμένων τὰ τακτικὰ μελετῶντι.

Πολεμικὸν ἄρα δεῖ καὶ τὸν βασιλέα εἶναι καὶ τῶν πολεμικῶν ἅμα ἄκρως τεχνίτην· οὕτω γὰρ ἂν καὶ μόνον εἰρήνης ἀείποτ' ἀπολαύειν δύναιτο.

Θωμ. 457, 35. Σὺ δ' εἰ μὲν ἀπολαύειν εἰρήνης ὅτι μάλιστα βούλει, ἀνάγκη μάλιστα πάντων φιλοπόλεμον εἶναι καὶ οὕτω σοι ταύτης ἀπολαύειν ἐξέσται,

καὶ 58. σὲ δ' εἶναι πολεμικὸν ἡμεῖς ἀξιοῦμεν, ἵν' εἴης εἰρηνικός, πολεμικὸς δ' οὐκ ἂν ὅλως εἴης μὴ μάχεσθαι μεμελετηκώς.

Ἰσ. § 24. πολεμικὸς μὲν ἴσθι ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν [1]).

Ἀλλὰ μήν, εἰ καὶ τὸν βασιλέα πολεμικὸν εἶναι δεῖ, οὐ πάντοτε οὐδὲ περὶ πάντων καὶ φιλονικεῖν αὐτὸν χρή.

Ἰσ. § 25. φιλονίκει μὴ περὶ πάντων.

Θωμ. 457, 21. μήθ', ὃ τούτου κρεῖττον, τὰς πρὸς οὑστιναςοῦν ξυμβαινούσας διαφορὰς λύειν λόγοις ἐξόν, σὺ δὲ θρασύτητι γνώμῃ εὐθὺς εἰς ὅπλα χωρήσῃς.

13.

Περὶ δὲ τῶν τῆς ψυχῆς γυμνασίων Ἰσ. λόγον ποιούμενος οὐδ' ὁπωστιοῦν καὶ τοῦδε ἀμνημονεῖ·

§ 13. καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου.

§ 53. τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ καὶ θεράπευε, γιγνώσκων,

---

τοῦ "εἰς Γρηγόριον τὸν θεολόγον" λόγου αὐτοῦ περὶ τῶν αὐτῶν ἀρκούντως φιλοσοφεῖ.

1) Πρβλ. καὶ Θωμ. 457, 16. "ἃς (μάχας) κάλλιστ' ἂν οὕτω καὶ λυσιτελῶς διενέγκοις, ἐὰν μήθ' ὑπὸ τοῦ πλεονεκτεῖν ἐθέλειν αὐτὸς ἀδίκου μάχης ὑπάρχῃς."

ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων τῶν κτημάτων ἐστίν.

IX, 44. οὐδὲν μὲν συμβούλων δεόμενος (Εὐαγόρας), ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος [1]).

Οὕτω καὶ Θωμ. 469, 44. δεῖ καὶ σὲ περὶ πλείονος τοῦτο πάντων ποιεῖσθαι, — συμβούλοις μὲν χρώμενον τοῖς ἀρίστοις, καὶ οἷς καὶ συνέσεως εἵνεκα λέγω καὶ χρόνου καὶ πείρας ξύνοισθα τὰ τοιαῦτα τεχνίταις· — Οὐ γὰρ τὸ τοῖς ὑπ' ἄλλου γνωσθεῖσι πεπεῖσθαι τοῦτό γ' αἰσχρόν, ἀλλ'

Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντα πίθηται·
ὃς δ' αὖ μήθ' αὐτῷ νοέῃ μήτ' ἄλλον ἀκούων
ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήιος ἀνήρ.

Καὶ τοῦτο τοίνυν οὐ μόνον εἴπερ τι τῶν πάντων ἀλλὰ καὶ ὡς οὐδέν τι τῶν πάντων βασιλεῖ σπουδαστέον· ἀνάγκη γὰρ περὶ τηλικούτων πραγμάτων βουλευόμενον καὶ συμβούλοις τοῖς ἀρίστοις τῶν περὶ αὐτὸν χρῆσθαι, τοὺς δὲ μηδὲν τῶν δεόντων γιγνώσκοντας ὅλως ἀποδοκιμάζειν· „δῆλον γάρ“, ὡς λέγει Ἰσοκρ. [2]), „ὡς ὁ μηδὲν ὢν αὐτὸς χρήσιμος οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειε.“

14.

Πρὸς δὲ τούτοις φιλάνθρωπον ἀναγκαίως ἔχει καὶ φιλόπολιν τὸν βασιλέα εἶναι·

Ἰσ. § 15. πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν.

IX, 43. ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει (Εὐαγόρας) τὴν πόλιν.

Θωμ. 456, 24. φιλανθρώπως — πρὸς πάντας ἔχειν.
465, 59. φιλάνθρωπος ἄγαν ἔσῃ.
485, 52. ἔσο φιλάνθρωπος [3])·

οὐδενὸς γὰρ πράγματος οἷόν τε καλῶς ἄρχειν, ἂν μή τις χαίρῃ τούτῳ, οὗ αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν.

Ἰσ. § 15. μελέτω σοι τοῦ πλήθους καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γιγνώσκων, ὅτι καὶ τῶν

---

1) Πρβλ. καὶ II, 28. — III, 21.
2) II, 52. Πρβλ. καὶ I, 35.
3) Πρβλ. καὶ 453, 37. — 484, 41. — 485, 41.

ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσι.

Θωμ. 464, 3. καὶ τούτους γὰρ καὶ πάντας τοὺς ἄλλους καὶ κοινῇ καὶ καθ' ἕνα περὶ τοσούτου ποιεῖσθαι δίκαιος ἂν εἴης, ὡς καὶ σαυτοῦ μηδὲν ἧττον τούτους φιλεῖν, καὶ τῆς γιγνομένης ἕκαστον τιμῆς ἀξιοῦν, καὶ ὅλως οὐχ ὡς ὑπηκόοις μᾶλλον ἢ ὡς γνησιωτάτοις κεχρῆσθαι, καὶ τὰ εἰκότα συνεῖναι καὶ διαλέγεσθαι.

Οὕτω δὲ καὶ ἐν ταῖς τιμωρίαις πρᾶος καὶ οὐ χαλεπὸς ἔσται, ὃ καὶ τὴν εὔνοιαν τῶν πολιτῶν παρασκευάσει αὐτῷ.

Ἰσ. § 23. ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ· δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.

III, 32. πρός τε γὰρ τοὺς πολίτας μετὰ τοιαύτης πραότητος προσηνέχθην (λέγει Νικ.)[1]).

Θωμ. 452, 27. σχήματι μὲν διαφέρων τῶν ἄλλων, τῷ δ' ἡμέρῳ τῆς γνώμης εἰς πατέρα σφίσι τελῶν,

καὶ 55. ὅταν δὲ τοὺς κρείττω πλημμελοῦντας συγγνώμης — οἴει δεῖν ἀξιοῦν, — τῆς ἁπασῶν μεγίστης προσηγορίας τυγχάνεις, θεοείκελός τις καὶ ὢν καὶ βοώμενος.

15.

Τὸ εὖ ποιεῖν ὁ βασιλεὺς ἀσκήσει καὶ οὔποτε δῶρα παρὰ τῶν ἄλλων δέξεται.

Ἰσ. § 22. περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων μὴ τοὺς σοὶ δωρεὰς ἄγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας.

III, 35. φανήσομαι γὰρ — πλείους καὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκὼς καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκὼς ἢ σύμπαντες οἱ πρὸ ἐμοῦ βασιλεύσαντες.

---

1) Πρβλ. καὶ IX, 67.

IX, 45. *τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτῷ ποιούμενος (Εὐαγόρας)* [1].

Θωμ. 452. 40. *ἀλλὰ καὶ ποιεῖν εὖ.*

453, 9. *μηδὲν μηδοτιοῦν παρὰ μηδενὸς ἀξιοῦν τὸ παράπαν λαμβάνειν μηδὲ δωροφορεῖσθαι διὰ τὸ σχῆμα καθάπερ οἱ πρόσθεν, ἀλλ' ὅπως δι' αὐτὸ τοῦτο μᾶλλον ἅπαντας εὖ ποιεῖς,*

καὶ 33. *λαμβάνων μὲν οὐδαμόθεν μηδ' ἂν ἀνάγκη τις ᾖ, οἴκοθεν δὲ καὶ παρὰ σαυτοῦ πᾶσι πάντα διδοὺς καὶ πλέον ὧν ἕκαστος δεῖται.*

456, 25. *καὶ μετὰ πολλοῦ τοῦ περιόντος τὰς εὐεργεσίας ποιεῖσθαι.*

469, 9. *καὶ διὰ πάντων τούτων εὖ ποιεῖν, μάλιστα δὲ μετὰ πάντων τούτων καὶ ποιεῖν εὖ* [2].

Καὶ παρὰ μὲν Ἰσ. ὁ οὕτω φερόμενος βασιλεὺς μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμεῖ,

§ 22. *τιμῶν γὰρ τοὺς τοιούτους (τοὺς παρὰ σοῦ λαμβάνειν δωρεὰς ἀξιοῦντας) μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις,*

παρὰ Θωμ. δὲ πάλιν, ὃς ἀγεννοῦς καὶ φαύλης καὶ μικρᾶς διανοίας καὶ οἷον πλεονεκτικῶς πως ἐχούσης τὸ μηδενὸς λαμβάνειν χρῄζονθ' ἡγεῖται, ὁ τὸ εὖ ποιεῖν ἠσκηκὼς πρὸς Θεὸν παραβάλλεται.

453, 27. *τὸ μὲν εὖ ποιεῖν μόνου πάντως ἐστὶ Θεοῦ· — τὸ δ' εὖ ποιεῖν τε καὶ πάσχειν ἀνθρώπου· — Ὅσον οὖν ἀνθρώπου Θεὸς ὑπερέχει τά γε τοιαῦτα, τοσοῦτο πάντων αὐτοκρατόρων βασιλεύτατος ἂν εἴη ὁ μόνον τὸ εὖ ποιεῖν ἠσκηκώς.*

16.

Δόξαν καλὴν καὶ μόνην, ης πολλαχοῦ τῶν λόγων αὐτοῦ Ἰσ. μνημονεύει, θηρεύων ὁ βασιλεὺς χρημάτων πέρι ἐλάχιστον μόνον λόγον ποιήσεται·

Ἰσ. § 32. *περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δ' ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρη-*

---

1) *Πρβλ. καὶ* II, 19. 54.

2) *Πρβλ. καὶ* 468, 8. — 488, 1.

μάτων οὐκ ὠνητή, καὶ τὰ μὲν καὶ φαύλοις παραγίγνεται, τὴν δ' οὐχ οἷόν τ' ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

IX, 3. εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν — ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκόλως αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὑτῶν μνήμην καταλείψουσι.

§ 71. θνητὸς δὲ γενόμενος (Εὐαγ.) ἀθάνατον τὴν περὶ αὑτοῦ μνήμην κατέλιπε [1]).

Θωμ. 468, 17. εἶτα παρὸν διὰ μὲν τοῦ χρημάτων, ὡς ἔφην, ὑπερφρονεῖν πάντ' ἄριστον εἶναι καὶ τοῖς πᾶσι ζηλοῦσθαι, διὰ δὲ τοῦ ταῦτα περὶ πλείονος ἄγειν καὶ τούτοις διαφερόντως ἡττᾶσθαι κακῶς ἀκούειν καὶ μῖσος ἐν ἅπασιν ἔχειν, σὺ δ', ὃ μὲν κατὰ σοῦ καὶ τῆς σῆς δόξης ἐστί, τοῦθ' ἡγησάμενος τῶν σφόδρα λυσιτελῶν, ὃ δέ σοι μεγίστων καὶ θαυμαστῶν ἐγκωμίων ὑπόθεσις ἔσται, τοῦτο τοῦ μηδενὸς ἄξιον χρῆσθαι νομίσας, τὸ μὲν ἐθελήσεις προέσθαι, τὸ δὲ καθάπαξ ἑλέσθαι, καὶ χρηματιστὴς ἀγεννὴς ἀκοῦσαι μᾶλλον ἢ τούτων αὐτῶν ὑπερόπτης, ὃ μηδ' ἂν εἷς τῶν ἐχθρῶν σοῦ γε κατεύξαιτο [2]);

ἀναγκαῖα γὰρ ἄλλως καὶ ταῦτα τοῖς πᾶσι πρὸς χρῆσιν, (τοῦτο γὰρ καὶ τοὔνομα βούλεται,) πάντων δὲ μάλιστα βασιλεῖ διά τε τὴν ἀρχὴν καὶ τὰς ἐντεῦθεν ἀνάγκας.

Θωμ. 468, 29. Μὴ σύ γε· ἀλλὰ βούλου μᾶλλον, ὦ βασιλεῦ, κενοὺς εἰ οἷόν τε ταλάντων ἴσχειν τοὺς θησαυροὺς ἢ παρελθεῖν ἀνελευθέρως περιουσίᾳ τὸν Μίδαν, ἐπεὶ καὶ αὐτὸς οὐκ ἀπέχεσθαί σε καθάπαξ χρημάτων φημί.

17.

Οὕτω δ' ἔχων κάλλιστα καὶ ὡς χρὴ τὴν πόλιν διοικήσει, τῶν μετρίων ἀείποτε καὶ ἐν πᾶσιν ἐπιθυμῶν καὶ διώκων.

Ἰσ. § 26. ἀλλ' ἂν τοιοῦτος ὢν οἷον χρὴ καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι μετρίων ἐπιθυμῇς.

§ 33. ἐλλείπειν αἱροῦ καὶ μὴ πλεονάζειν· αἱ γὰρ με-

---

1) Πρβλ. καὶ II, 37. — III, 45.
2) Πρβλ. καὶ 449, 11. — 465, 46.

τριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἔνεισι.

§ 39. ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὐτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους —, ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους[1]).

Θωμ. 449, 37. ὡς μὴ μεῖζον τοῦ εἶναι φρονεῖν ἔχειν, μηδ' ὑπὲρ τὰ ἐσκαμμένα τῆς φύσεως βαίνειν,

καὶ 44. πειρᾶσθαι παντὶ θυμῷ — μετριώτατα πάντων κεχρῆσθαι, καὶ κατὰ σαυτὸν ἀλλ' οὐχ ὑπὲρ σαυτὸν τοῖς πράγμασιν ὁμιλεῖν.

18.

Πρὸς δὲ τούτοις, ὃ δοκεῖ χαλεπώτατον εἶναι, ἠπίως ἅμα καὶ προσηκόντως πρός τε τὰς πόλεις καὶ τὸ πλῆθος τὸν βασιλέα προσφέρεσθαι, οὐδὲ τούτου δεῖ αὐτὸν ὑπερφρονεῖν καὶ παρ' οὐδὲν τίθεσθαι, ἀλλ' ἐν τοῖς μάλιστ' ἀσκεῖν καὶ δεόντως τοῦτ' ἐπιτηδεύειν.

Ἰσ. § 34. Ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει.

IX, 46. καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ (Εὐαγόρ.)[2]).

Θωμ. 452, 25. χρηστότητι μὲν καὶ ἐπιεικείᾳ τρόπων κεχρημένος πρὸς πάντας καὶ τῷ μετὰ πολλοῦ τὰς ἐντεύξεις ποιεῖσθαι.

464, 10. δῆμον εἶναι τὴν γνώμην καὶ τῷ προσίεσθαι,

καὶ 25. δεῖ πρὸς τούτῳ καὶ δημοτικὸν παντὸς μᾶλλον καὶ τοῖς πᾶσι κοινότατον εἶναι[3]).

Καὶ περὶ μὲν τῶν πολιτῶν οὕτω· περὶ δὲ τῆς πρὸς τὰς πόλεις ὁμιλίας αὐτοῦ λέγει

Θωμ. 452, 29. πλὴν εἰ πόλεσιν ἢ πρεσβείαις ἢ ἔθνεσί τισι χρηματίζεις, τότε γάρ σοι καὶ μεγαλοφροσύνης ὡς

---

1) Πρβλ. καὶ III, 34. καὶ Θωμ. 457, 17.

2) Πρβλ. καὶ § 44.

3) Πρβλ. καὶ 476, 19., ἔνθ' ἐκτενέστερος περὶ τούτου λόγος γίγνεται.

μάλιστ' ἀντιποιεῖσθαι προσήκει, καὶ τὸ σεμνόν τε καὶ ὄγκον γέμον τῆς γνώμης μετὰ τῆς προσούσης ἐπιεικείας δεικνύναι,

καθάπερ καὶ Ἰσ. § 24· *οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους ὥσπερ ἂν τὰς κρείττους πρὸς ἑαυτὸν ἀξιώσειας.*

19.

Οἱ λόγοι αὐτοῦ ἀληθεῖς πάντοτ' ἔσονται καὶ τῶν ὅρκων τῶν ἄλλων πιστότεροι.

Ἰσ. § 22. *πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους.*

IV, 81. *πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις χρώμενοι* (*οἱ πάλαι Ἕλληνες*)[1].

Θωμ. 476, 32. *οὕς γε* (*λόγους*) *καὶ πιστοτέρους εὖ ἴσθι τῶν τοῖς ἄλλοις ὀμωμοσμένων ἐργάσῃ.*

20.

Βουλεύεσθαι πρότερον καλῶς περὶ πάντων τὸν βασιλέα καὶ εἶτα, ἃ ἂν νομίσῃ ἄριστα, ἔργῳ ταῦτ' ἐπιτελεῖν ἀνάγκη· οὕτω γὰρ ἂν καὶ μόνον ἐλαχίστοις ἑκάστοθ' ἁμαρτήμασι περιπίπτοι.

Θωμ. 469, 44. *δεῖ καὶ σὲ περὶ πλείονος τοῦτο πάντων ποιεῖσθαι, καὶ ὅπως ἂν σοι κάλλιστα καὶ ἀσφαλέστατα καὶ ὡς οὐκ ἂν ἄλλως εἰκὸς ἦν αἱ περὶ τῶν ὅλων ἑκάστοτε γίγνοιντο βουλαί τε καὶ σκέψεις, καὶ μηδοτιοῦν τῶν ἁπάντων ἄνευ ταυτησὶ τῆς προνοίας εἰς ἔργον ἐξάγοις διαφερόντως φροντίζειν, κ. τ. λ. οὕτω καὶ στρατηγοὶ καὶ κυβερνῆται ποιοῦσι καὶ πᾶς τις ἕτερος· τούτων ἕκαστος οὐ πρὶν ὁτιοῦν ἀξιοῦσιν εἰργάσθαι πρὶν ἢ καλῶς βεβουλεῦσθαι.*

472, 13. *πάντα τὰ βέλτιστ' αὐτὸς καὶ βουλεύου καὶ πρᾶττε.*

Ἰσ. § 33. *ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις ἁμαρτήμασι περιπίπτῃς.*

§ 38. *ἅττ' ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.*

---

1) *Πρβλ. καὶ* I, 22.

21.

Ξυνελὼν τοίνυν λέγω παράδειγμα τὸν βασιλέα ἐν παντὶ πᾶσι τοῖς ἄλλοις ἑαυτὸν καταστῆσαι προσήκειν· φιλεῖ γὰρ τὸ πλῆθος τοῖς ἄρχουσιν ἀείποτ' ὁμοιοῦσθαι τοῖς αὐτοῦ.

Θωμ. 449, 21. *τούτοις δ' αὖ σε καλοῦ παντὸς εἶναι παράδειγμα.*

465, 49. *τοῖς τ' ἄλλοις — καλοῦ παντὸς ἂν γενέσθαι παράδειγμα.*

496, 25. *ἀλλὰ καὶ πάντων ἐν ἅπασι βέλτιστον εἶναι, ἅτε πάντων εἰς αὐτὸν ὡς εἰς ἀρχέτυπον ἀφορώντων κἀκεῖθεν τὰ σφέτερ' αὐτῶν καθιστάντων* [1]).

Ἰσ. § 31. *ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι.*

III, 37. *βουλόμενος (λέγει Νικ.) — παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις, γιγνώσκων, ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς αὑτῶν ὁρῶσι διατρίβοντας.*

22.

Τοιοῦτος δ' ὁ βασιλεὺς ὤν, οἷον αὐτὸν ἔφην, οὐκ ἔστιν ὅπως οὐ καὶ τῆς μεγίστης καὶ ἀληθεστάτης τῶν τιμῶν ἀπολαύσει,

Ἰσ. § 30. *νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὑτοῖς ὄντες μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσι.*

Θωμ. 452, 48. *τήν τε σὴν εἰς αὑτοὺς αἰδούμενοι γνώμην,*

καὶ τὴν τῶν πολιτῶν εὔνοιαν κτήσεται,

Ἰσ. § 21. *φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τὴν τῶν πολιτῶν εὔνοιαν.*

X, 37. *τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος.*

---

1) *Πρβλ. καὶ* 456, 41. — 520, 7. 55., *ἔνθ' ὁ λόγος περὶ ἀγορανόμων, ἀστυνόμων καὶ τῶν τοιούτων ἐστί.*

Θωμ. 452, 42. *ὁμοῦ δὲ καὶ πλείστην ὅσην εὔνοιαν ἐκ τούτων παρασκευάζων σαυτῷ· — σοί τε σφόδρ᾽ εὖνοι τὸν ἅπαντ᾽ ἔσονται χρόνον.*

453, 39. *εὐνοοῦντας ἅπαντας ἔχων καὶ τὰ σὰ κινέοντας.*

485, 56. *μᾶλλον δ᾽ οὕτως εἰς σεαυτὸν ἅπαντας ἕλξεις,*
καὶ τὸν ἅπαντα τέλος χρόνον ἐν τῇ ἀρχῇ εὐδοκιμήσει

Ἰσ. § 19. *ἵν᾽ εὐδοκιμῇς ἅμα καὶ διαρκῇς.*

§ 22. *τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις.*

§ 36. *δεινὸν ἡγοῦ — τοὺς βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσι.*

Θωμ. 448, 12. *ἅ σε τῶν πάνυ τοι ζηλωτῶν οὐκ ἐν τῷ παρόντι μόνον ἀλλὰ κἂν τοῖς ἔπειτα δείξει.*

456, 6. *ὡς ἂν εὐδοκιμεῖν — ἔχῃς.*

Β΄. Περὶ πολιτείας.

1.

Ἐν τῷ 3. λόγῳ Νικοκλῆς, παρ᾽ οὗ, ὥσπερ προοιμιαζόμενος ἔφην, τὰ ἐν αὐτῷ πρὸς τοὺς τῶν ὑπηκόων τιμιωτάτους λέγεται, ἀρχόμενος λέγει,

§ 11. *Τὸν μὲν οὖν ἕτερον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε, τὸν δ᾽ ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ᾽ ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς,*

καθάπερ καὶ Θωμ. ἐν τῷ "περὶ πολιτείας" λόγῳ αὐτοῦ, αὐτὸς καὶ οὐ διὰ τοῦ βασιλέως συμβουλεῦσαι τοῖς ἀρχομένοις βουλόμενος·

496, 1. *Ἃ μὲν ἀρίστου πέρι καὶ θαυμαστοῦ βασιλέως φάναι προσῆκε, — ταῦτ᾽ ἐστίν. Ἐπεὶ δὲ δεῖ τὸν ταῦτ᾽ εἰρηκότα καὶ περὶ τῶν ἀρχομένων ἅττ᾽ ἔξεστι διελθεῖν, καὶ δεῖξαι σαφῶς, ὁποῖοί τινες ἂν ὄντες καὶ τί δρῶντες ἀξιόχρεῳ τουτουὶ διὰ πάντων ὀφθεῖεν καὶ σφόδρα προσ-*

ἥκοντες, πειράσομαι καὶ τοῦτον, ὡς ἂν οἷός τ' ὦ, διανῦσαι τὸν ἆθλον.

Οὐκοῦν ὑπόθεσις ἀμφοτέρων τῶν λόγων ἡ αὐτή, πῶς δεῖ τὸ ὑπήκοον βασιλεύεσθαι.

2.

Δεῖ δὴ πρῶτον, ὅπερ ἔργον τὰ πολλὰ τῶν βασιλευόντων ἐστί, πόλεις ἁπάσας καὶ χώρας ἐν μεγίστῃ ὁμονοίᾳ διάγειν καὶ μὴ πρὸς ἀλλήλας διχοστατεῖν.

Ἰσ. § 41. καίτοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσι, κ. τ. λ.

Θωμ. 465, 37. νῦν μὲν ταῖς πόλεσι δι' ἐπιστολῶν ὁμονοεῖν παρακελευόμενον (τὸν βασιλέα).

497, 58. ἔπειτα τοσαύτῃ μὲν καὶ τηλικαύτῃ καὶ αὐτὰς πρὸς ἑαυτὰς καὶ πρὸς ἀλλήλας ὁμονοίᾳ κεχρῆσθαι, ὡς μίαν ἁπάσας εἶναι δοκεῖν τῷ ταῦτα φρονεῖν καὶ χαίρειν τοῖς ἴσοις.

3.

Καὶ περὶ μὲν τῶν πόλεων οὕτω· τοὺς δ' ἀρχομένους εὐνούστατα πρὸς τοὺς ἄρχοντας τὸν ἅπαντα χρόνον διακεῖσθαι καὶ ταὐτὰ πάντοτε λέγειν τε καὶ φρονεῖν περὶ αὐτῶν χρή.

Ἰσ. § 58. μέγιστον ἡγεῖσθε καὶ δικαιότατον τοῖς παισὶ πλοῦτον παραδώσειν, ἢν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλείπειν.

§ 60. οἷάπερ παρόντος μου λέγετε, τοιαῦτα καὶ περὶ ἀπόντος φρονεῖτε.

Θωμ. 465, 38. τοῖς προϊσταμένοις ὡς μάλισθ' ὑπείκειν.

500, 2. οὕτω δ' εὔνους τοῖς ἄρχουσιν εἶναι, ὡς μὴ μόνον πάντ' αὐτοῖς τὸν ἅπαντα χρόνον εἴκειν, καὶ μετὰ τοὺς νόμους καὶ αὐτοὺς νόμους ἡγεῖσθαι, καὶ στέργειν καθάπαξ καὶ τιμᾶν τὰ γιγνόμενα, κ. τ. λ.

Ταύτην δὲ τὴν πρὸς αὐτοὺς εὔνοιαν οὐκ ἐν τοῖς λόγοις μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις καταφανῆ ποιήσονται.

Ἰσ. § 61. τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ τοῖς λόγοις.

Θωμ. 500, 6. ἀλλὰ καὶ τὴν ψυχὴν ἂν ὑπὲρ αὐτῶν, εἰ δεήσῃ, προέσθαι.

4.

Ἀλλὰ γὰρ οὐ μόνον πρὸς τοὺς ἄρχοντας εὔνους αὐτοὺς ἀνάγκη εἶναι, ἀλλὰ καὶ νεωτέρων πραγμάτων, στάσεων καὶ τῶν τοιούτων μηδαμῶς ἐπιθυμεῖν μηδὲ ζητεῖν τὸ παράπαν χρή, ἀλλὰ τοῖς νόμοις ὑπείκειν καὶ τοῖς καθεστῶσιν ἀείποτ᾽ ἐμμένειν, ἵνα θαυμασίως οὕτω τὸν βίον ἐν ὁμονοίᾳ διάγοιεν· τὰ γὰρ ἄλλα πάντα ζημίαν μᾶλλον τοῖς χρωμένοις ποιεῖ.

Ἰσ. § 54. ἑταιρείας μὴ ποιεῖσθε μηδὲ συνόδους ἄνευ τῆς ἐμῆς γνώμης.

§ 55. διαφυλάττετε τὴν παροῦσαν κατάστασιν καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς,

ὥσπερ καὶ *Θωμ.* 508, 24. ἐφ᾽ ἃ μὴ θέμις προῆχθαι, ἀναισχυντοῦντες, ἐπιορκοῦντες, πονηρευόμενοι· — καί, ὃ μέγιστον, στάσεις ἐγείροντες.

Ἰσ. § 51. μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ᾽ ἐμοῦ προστατιομένων.

§ 56. ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμήν, ἐμμένοντας τοῖς ἤθεσι καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικούς[1]).

Οὕτω καὶ *Θωμ.* 497, 49. τοῖς νόμοις ἐμμένειν βούλεσθαι.

Ἰσ. § 54. αἱ γὰρ τοιαῦται συστάσεις ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν, ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσι.

§ 55. εἰδότες, ὅτι διὰ τὰς ταραχὰς ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις ἀπόλλυσθαι καὶ τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους γίγνεσθαι[2]),

---

1) Πρβλ. καὶ § 12. 48. 62. — I, 36.
2) Πρβλ. καὶ § 62.

καθάπερ καὶ Θωμ. 501, 1. Τὸ δὲ στασιάζειν καὶ πολεμεῖν πρὸς ἀλλήλους — ἡλίκον καὶ τούτοις κἀκείνοις (ἡ παραβολὴ πρὸς κυβερνήτην καὶ ναύτας) τὸν ὄλεθρον ἴσχει, καὶ τοσοῦτον τουτοισὶ μᾶλλον ἢ 'κείνοις· — τὴν ὁμόνοιαν κάλλιστον καὶ λυσιτελέστατον τοῖς χρωμένοις εἶναι καὶ πάσης εὐδαιμονίας ὑπόθεσιν. — Ἔτι νῦν τοι εἴ τις ἔροιτ' αὐτούς, πότερον εὖ πράσσειν ἢ δυστυχεῖν αἱροῦνται· εἰ μὲν δυστυχεῖν, οὐδὲ συμφρονήσουσιν, εἰ δὲ τοῦ πράσσειν καλῶς λόγος αὐτοῖς, καὶ τοῦ συμφρονεῖν ποιήσονται λόγον. — συμφρονήσαντες δ', ὡς εἰκός, — αὐτοί τ' ἐν τῷ τῶν πραγμάτων ἀσφαλεῖ καὶ καλλίστῳ τὸν ἅπαντα βιώσονται χρόνον, τῇ τε πόλει παντοδαπῶν ἀγαθῶν καθάπαξ ἔσται φορά.

5.

Καὶ ταῦτα μὲν δὴ οὕτω. Περὶ ἀρετῆς δὲ καθόλου καὶ τῶν μερῶν αὐτῆς, εἰ καὶ ἀποχρώντως ἤδη εἴρηται [1]), δοκεῖ μοι πρέπειν κἀνταῦθα περὶ τῆς τῶν ἀρχομένων ἰδίᾳ μίκρ' ἄττα διελθεῖν.

Ἰσ. § 50. μὴ σπεύδετε πλουτεῖν μᾶλλον ἢ χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες, ὅτι καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες πλείστων ἀγαθῶν δεσπόται καθίστανται.

§ 55. θαρρεῖτε μὴ μᾶλλον διὰ τὴν πραότητα τὴν ἐμὴν ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν.

§ 57. προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύοντες αὐτοῖς, οἵους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς [2]).

Θωμ. 497, 54. πᾶσαν ἄλλην ἀρετὴν σπουδαστέον.

505, 36. ἀρετὴν σπουδαστέον ἂν εἴη διὰ βίου παντός. Οὐ γὰρ νῦν μέν, νῦν δ' οὔ, ἀλλ' ἀεὶ καὶ παρὰ πάντα δήπου τὸν χρόνον χρηστοὺς ἡμᾶς εἶναι δεῖ καὶ δικαίους καὶ σώφρονας καὶ πᾶσιν, ὡς εἰπεῖν, τοῖς γιγνομένοις κομῶντας.

---

1) Ἴδε σελ. 17. καὶ ἑξ.

2) Πρβλ. καὶ § 59. — IX, 5.

508, 55. *καὶ Θεὸν εἶναι τοῖς τρόποις πειρᾶσθαι, ἣν καὶ τελεωτάτην φαμὲν ἀρετήν* [1]).

Ἰσ. § 48. *Φημὶ δὲ χρῆναι πράττειν ἕκαστον ὑμῶν ἐφ' οἷς ἐφέστηκεν ἐπιμελῶς καὶ δικαίως.*

§ 57. *καὶ πιστοὶ μὲν ὄντες (οἱ ὑμέτεροι παῖδες) καὶ δίκαιοι μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν, κακοὶ δὲ γενόμενοι κινδυνεύσουσι καὶ τῶν ὑπαρχόντων* [2]).

Οὕτω καὶ *Θωμ.* 516, 56. *Οὕτως οὐδὲν ἐξωλέστερον δήπουθεν ἀδικίας, οὐδ' ὃ μᾶλλον φεύγειν ἐχρῆν.*

517, 6. *ἀπέχεσθαι μὲν παντάπασι καὶ μισεῖν (τὸ ἀδικεῖν) ὁμῶς ἀίδαο πύλῃσιν, ἔχεσθαι δὲ δικαιοσύνης καὶ τοῖς οὖσιν ἀρκεῖσθαι, θαυμαστήν τινα ταύτην τῷ ὄντι πανοπλίαν νομίζοντες καὶ πάσης ἡστινοσοῦν ἄλλης λυσιτελεστέραν τε καὶ καλλίω,*

καὶ 49. *ἀσκήσετε δὲ δικαιοσύνην* [3]).

Ὁ ἀδικῶν ἑαυτὸν ἀδικεῖ καὶ οὐ τοὺς ἄλλους.

Θωμ. 516, 11. *ἧς (θείας ῥοπῆς) οὐχ ὅπως ἀποστεροῦσιν ἑαυτούς, ἀλλὰ καὶ κινοῦσιν εὖ μάλα καθ' ἑαυτῶν οἱ προσέχοντες ἀδικίᾳ.*

517, 46. *τὸ τοὺς ἄλλους ἀδικεῖν ἑαυτὸν ἐν τοῖς μεγίστοις καὶ κυριωτάτοις ἐστὶν ἀδικεῖν.*

Ἰσ. § 50. *τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθε -- κίνδυνον ποιήσειν· — ἀλλ' ὁπότερον ἂν (λαβεῖν ἢ ἀναλῶσαι) ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελεῖ τοὺς ποιοῦντας.*

Θωμ. 497, 49. *εὐσεβείας μὲν καὶ τῆς περὶ τὸ σέβας ἀσφαλείας, ἅτε κρηπῖδος καὶ ἀρχῆς οὔσης καὶ ῥίζης εὐδαίμονος βιοτῆς καὶ τοῦ κατὰ ψυχὴν γιγνομένου, κ. τ. λ. ἄνευ δὲ ταύτης τηνάλλως θέομεν. Διὰ ταῦτα της μὲν πρὸ τῶν ἄλλων ἐρρωμένως μάλιστ' ἀντιποιεῖσθαι, καὶ πᾶσιν οἷς ἔξεστι θεραπεύειν τὸ θεῖον.*

---

1) *Πρβλ. καὶ* 496, 15. — 505, 17. — 508, 58. — 540, 30.

2) *Οὕτω καὶ ἐν* § 50. 64.

3) *Πρβλ. καὶ* 536, 20.

6.

Ὥσπερ τὴν ἀρετὴν τιμᾶν δεῖ καὶ πολλοῦ τινος ἀξίαν οἴεσθαι, οὕτω δ' αὖ πάλιν τὴν κακίαν μισεῖν καὶ ταῖς ἐσχάταις ζημίαις κολάζειν τοὺς πολίτας χρή.

Ἰσ. § 53. μὴ κατασιωπᾶτ' ἄν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε καὶ νομίζετε τῆς αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτοντας τοῖς ἁμαρτάνουσι· — τοὺς μὲν γὰρ (κακόν τι ποιοῦντας) εἰκὸς τοιαῦτα παθεῖν, οἷάπερ αὐτοὶ ποιοῦσι, τοὺς δὲ (μηδὲν ἐξαμαρτάνοντας) χάριν ἀπολαβεῖν, ἧς ἄξιοι τυγχάνουσιν ὄντες.

Θωμ. 525, 56. δεῖν εἶναι καὶ πάνυ φημὶ τοὺς τῶν πολιτευομένων ἀρίστους τά τ' ἄλλα καὶ ὁτιοῦν χρηστὸν εἰργασμένους διαφερόντως ἐπαινεῖν καὶ θαυμάζειν καὶ περὶ πλείονος ποιεῖσθαι τῶν ἄλλων καὶ πᾶσιν οἷς εἰκὸς τουτουσὶ θεραπεύειν· πρὸς γὰρ τῷ τὴν ταῦτα πράσσουσαν πόλιν μάλιστα νοῦν ἔχειν δοκεῖν καὶ δόξαν εὐγνωμοσύνης φέρεσθαι καὶ πόλλ' αὐτῇ τὰ κάλλιστα περιγίγνεται, τῆς τε προσούσης ἀρετῆς τιμωμένης, τῆς τε κακίας καθάπαξ ἀνειργομένης, ὡς τὴν μὲν μεταβάλλειν εὖ μάλα, τὴν δ' εἰς ὅσον ἔξεστι πλεῖστον ἐπιδιδόναι καὶ πλείστους ζηλωτὰς καθιστάναι,

περὶ οὗ δὴ καὶ Ἰσ. πολὺν λόγον ἐν § 14. κέ. ποιεῖται.

§ 14. οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς.

§ 15. αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δευτέρῳ δὲ τὸ μετ' ἐκεῖνο, τρίτῳ δὲ καὶ τετάρτῳ καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον.

II, 14. μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν [1]).

Θωμ. 464, 50. μετὰ τοσαύτης ἀκριβείας τὰς ἀρχαιρεσίας ποιεῖσθαι (τὸν βασιλέα) δεῖ, ἐν αἷς τό τε χεῖρον τό τ' ἄμεινον κινδυνεύεται.

---

1) *Πρβλ.* καὶ § 28. — III, 16.

528, 8. *Εἰ γὰρ ἐν τῷδε, κατ' Εὐριπίδην, αἱ πολλαὶ κάμνουσι πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον, εὔδηλον ὡς, ὅταν οὗτος αὐτὸς καὶ ὑπὲρ τὰ γιγνόμενα στέργηται καὶ φιλῆται, τοσοῦτον ἔσται τῇ λαχούσῃ πόλει τὸ κέρδος, ὡς μὴ μόνον τοὺς αὐτῆς πάντας λόγον ἀρετῆς ὡς μάλιστ' ἴσχειν καὶ τὰ μεγάλα τῇ πατρίδι φιλοτιμεῖσθαι βούλεσθαι, ἀλλὰ κ. τ. λ.*

Τοιαύτη δὲ πολιτεία, ἐν ᾗ ἕκαστος κατὰ τὴν ἀξίαν τιμᾶται, ἡδίων ἐστί, κατ' Ἰσοκρ., καὶ πραοτέρα καὶ δικαιοτέρα [1]).

§ 14. *δικαιότατον δὲ τὸ διωρίσθαι περὶ τούτων καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους.*

Οὕτω καὶ **Θωμ.** 528, 58. *Καίτοι εἰ τὸ τοὺς ἀγαθοὺς τιμᾶν ἧς ἴσχουσιν ἀρετῆς μισθός ἐστιν, ὡς ἅπαντες ἴσασιν, εὔδηλον ὡς, ἐὰν μὴ τοῦτο ποιῶμεν, τὰ μέγιστ' αὐτοὺς ἀδικοῦμεν τῶν προσηκόντων ἀποστεροῦντες.*

7.

Ὥσπερ δὲ τοὺς ἐν μεγίστῃ ἀρχῇ ὄντας καὶ προὔχειν λαχόντας οὐδὲν οὐδαμῶς ὑπερφρονεῖν τῶν πολλῶν καὶ τούτοις ἀνδραπόδων δίκην χρῆσθαι προσήκει, οὕτω δ' αὖ καὶ τοὺς πολλοὺς οὐδενὶ τρόπῳ φθονεῖν καὶ μισεῖν τοὺς ὑπερέχοντας τούτους οὐδὲ τὸ παράπαν, ἀλλὰ συμπράττειν αὐτοῖς καὶ βοηθεῖν καὶ τοῖς δημοσίοις συνόλως ἀμφοτέρους ὥσπερ οἰκείοις τὸν νοῦν ἀείποτε προσέχειν λυσιτελὲς ἅμα καὶ πρέπον.

Ἰσ. § 60. *μὴ φθονεῖτε τοῖς παρ' ἐμοὶ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσι· φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν οὕσπερ ἂν καὶ ὁ βασιλεύς, ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων.*

Θωμ. 500, 28. *μήτ' αὖ οἱ πολλοὶ πρὸς τοὺς ὑπερέχοντας οὑτωσὶ διακείσθων, ὡς ὑπὸ βασκανίας καὶ φθόνου τούτοις ἀπεχθάνεσθαι καὶ μισεῖν, — τοὺς μὲν (πολλοὺς) τῶν ὑπαρχόντων ἐκείνοις ξυγχαίρειν καὶ συνεύχεσθαι τὰ*

---

1) § 17.

βελτίω, ἐκείνους (τοὺς ὑπερέχοντας) δ' αὖθις — τούτοις ξυμπράττειν — καὶ συνόλως ὡς οἰκείων καὶ μάλ' αὐτοῖς προσηκόντων ἀντέχεσθαι καὶ φροντίζειν.

501, 34. τὴν πόλιν πᾶσαν εἰς ἐπιφανεῖς τε καὶ πολλοὺς διαιροῦντες οὐκ ἀξιοῦμεν ἡντινοῦν βασκανίαν ἢ θράσος ἑκατέροις παρ' ἑκατέρων ὑπάρχειν, ἀλλ' ἐξ ἴσης ἑκατέρους εὐνοεῖν ἑκατέροις κατὰ τὸ ἐξὸν ἑκατέροις.

8.

Καὶ πρὸς τοὺς λοιποὺς δέ, πλουσίους τε καὶ πτωχούς, ξένους τε καὶ μή, εὐγενῶς πάνυ τοὺς πολίτας προσφέρεσθαι καὶ χεῖρα πάντα τρόπον σῴζουσαν πρὸς τοὺς ἐν χρείᾳ γιγνομένους ἀείποτ' ὑπερίσχειν καλόν τε καὶ δίκαιον καὶ Θεῷ ἅμα φίλον ἐστίν.

Ἰσ. § 49. τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἷόν περ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίγνεσθαι.

§ 61. ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε [1]).

Θωμ. 501, 38. πολλοῦ τινος ἄξιον εἶναί φαμεν καὶ πρὸς Θεοῦ καὶ πρὸς ἀνθρώπων ἐν τῷ καλλίστῳ μάλιστα κεῖσθαι, μὴ μόνον τὴν τῶν ξένων ὑποδοχὴν καὶ φιλανθρωπίαν καὶ τὸ τούτους οἰκείως εὖ μάλα προσίεσθαι καὶ κεχρῆσθαι, ἀλλὰ καὶ τὸ τοὺς ἀπόρους τῶν πολιτῶν καὶ πιεζομένους ἐνδείᾳ πλείστης ὅσης ὑπὸ τῶν εὐπόρων ἀξιοῦσθαι προνοίας.

504, 3. δίκαιοι πάντες ἐσμὲν διὰ πάντα ταῦτα, οὓς ἂν ἑκάστοθ' ὁρῶμεν ἐν σπάνει καθεστῶτας τοῦ βίου καὶ πενίᾳ συζῶντας καὶ οἷς οὐκ ἔδει ταλαιπωροῦντας, τούτοις συμπονεῖν καὶ συναλγεῖν καὶ συνάχθεσθαι καὶ πᾶσιν οἷς ἔξεστιν ἐπικουφίζειν καὶ παραμυθεῖσθαι σφίσι τὰ δυσχερῆ καὶ ὅλως κοινωνοὺς ποιεῖσθαι τῶν εἴτ' ὄντων βούλει λέγειν εἴτ' οὐκ ὄντων ἡμῖν.

532, 3. ὅταν οὑστινασοῦν τῶν τι τοῦ σώματος πεπηρωμένους ὁρῶμεν, οὐκ ὀνειδίζειν οὐδ' ἐπιχαίρειν αὐτοῖς τὴν συμφορὰν ἐπιτρίβοντας, ἀλλὰ καὶ συνάχθεσθαι δεῖ

---

1) *Πρβλ. καὶ* II, 22.

καὶ διὰ πάντων ἀξιοῦν προμηθείας οὐχ ἥκισθ' ἡμῶν αὐτῶν τούτων φροντίζοντας [1]).

Παραπλησίᾳ δὲ τοῖς ταλαιπώροις τούτοις χρῶνται τῇ τύχῃ καὶ οἱ εἰληχότες δουλεύειν, τὴν σφετέραν αὐτῶν ἐλευθερίαν ὥσπερ ἐκεῖνοι τὸ σῶμα πεπηρωμένοι, περὶ ὧν Θ. ἐν κεφαλαίῳ ὅλῳ λόγον ποιεῖται [2]).

9.

Ἐπεὶ δὲ θαυμαστὸν ἡμῖν καὶ μέγιστον πόρον τοῦ καθ' ἑκάστην βίου τέχνας καὶ ἐπιστήμας ἅπαντες ἴσμεν, κάλλιστον καὶ λυσιτελέστατον ἂν εἴη τέχνας τοὺς πολίτας ἐκμανθάνειν καὶ ταύτας τὸν πάντα χρόνον ἀσκεῖν καὶ μηδέν' αὐτῶν ἀργῶς ὅλως καὶ μηδὲν πράττοντα ἐπ' ἀγοραῖς καθῆσθαι· ἡ γὰρ ἀργία, ὡς λόγος, μήτηρ κακίας.

Θωμ. 508, 2. *τῶν καλλίστων καὶ λυσιτελεστάτων νομίζω μηδοντινοῦν τῶν πολιτῶν καὶ τῶν μικρῶν ὑπὲρ τοὺς πολλοὺς τέχνης ἄμοιρον εἶναι,*

καὶ 33. *Εἰ τοίνυν τὸ μὲν τέχνας περὶ πλείστου ποιεῖσθαι κέρδος οὐ μικρὸν ἴσχει τῇ πόλει, τὸ δ' αὐτῶν ἀλογεῖν ζημία σαφής, ἀνάγκη πᾶσα τὸ μὲν ἀποστρέφεσθαι καὶ μισεῖν καὶ χαίρειν ἐᾶν, τοῦ δ' ὡς κοινωφελοῦς λόγον παντάπασιν ἴσχειν.*

Ἰσ. II, 18. *τὰς μὲν ἐργασίας καθίστη αὐτοῖς κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθυμότερον ἔχωσι.*

IX, 47. *Παραλαβὼν γὰρ (Εὐαγ.) τὴν πόλιν ἐκβεβαρβαρωμένην καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην οὔτε τέχνας ἐπισταμένην οὔτ' ἐμπορίῳ χρωμένην οὔτε λιμένα κεκτημένην ταῦτά τε πάντα διώρθωσε κ. τ. λ.* [3]).

10.

Ἵνα δ' οἱ τὰς τέχνας δήπουθεν μετιόντες μὴ μόνον ἐξ ἡμισείας ὦσι τῇ πόλει χρηστοί, ἀλλ' ἔχωσι κἂν τῇ γνώμῃ νεανικὸν καὶ παρε-

---

1) Πρβλ. καὶ 42.
2) Ἴδε κεφ. ιθ'.
3) Πρβλ. καὶ XI, 15.

σκευασμένον εἰς μάχας, ἀνάγκη αὐτοὺς καὶ τὰ πολεμικὰ μελετᾶν καί, ὃ καὶ περὶ βασιλέως ἔλεγον, ἄκρως αὐτῶν τεχνίτας εἶναι.

Θωμ. 509, 38. κελεύω τούτων ἕκαστον παντοδαπὰ δήπου κτησάμενον ὅπλα τοῖς μὲν ἐξ ἔθους ἔργοις πάντα δήπου τὸν χρόνον ἐπιμελῶς ἄγαν προσκεῖσθαι καὶ μηδὲν ἀνιέναι σπουδῆς, ἐπὰν δὲ τούτων σχολὴν ἄγωσι, τότ' ἤδη τοῖς ὅπλοις κεχρῆσθαι καὶ μελετᾶν κἀν ταῖς μάχαις.

512, 2. Καὶ μὴν καὶ αὐτὸ στρατεύεσθαι καὶ ὅπλα μεταχειρίζειν εἰδέναι καὶ πῶς καὶ πότε καὶ ὅπως τοῖς πολεμίοις ἐπιθέσθαι καὶ ξυμβαίνειν ἢ μὴ τέχνη τίς ἐστι θαυμαστή.

Ἰσ. VIII. 136. Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις καὶ παρασκευαῖς, κ. τ. λ.

11.

Τοιούτους τοίνυν τοὺς πατέρας ὄντας ἀνάγκη καὶ τοὺς υἱεῖς αὐτῶν ὁμοίους ποιεῖν γράμμασι τὸ πρῶτον αὐτοὺς παιδεύοντας, κοινωνοὺς οὕτω παιδείας καὶ λόγων καθιστάντας, καὶ εἶτα εἰς τέχνας παραπέμποντας.

Θωμ. 540, 3. Ταῦτ' ἄρα καὶ πένησι καὶ πλουσίοις κελεύω, μὴ πρότερον εἰς τέχνας δή τινας τοὺς υἱεῖς παραπέμπειν, πρὶν ἂν αὐτοὺς ἄχρις ἥβης ἢ καὶ μικρὸν πρὸ τῆς ἥβης γράμμασιν ἱεροῖς ἐκπαιδεύειν, καὶ οὕτω τὴν σφῶν ψυχὴν καταρτίζοντας καὶ προκαθιστάντας, κ. τ. λ.,

ποιούμενος ἐν τέλει τοῦ κεφαλαίου καὶ τοῦ γνωστοτάτου ἐκείνου μνείαν·

Εὐρυδίκη Ἱεραπολιῆτις τόνδ' ἀνέθηκε
Μούσαις, εὔιστον ψυχῇ ἑλοῦσα πόθον·
γράμματα γάρ, μνημεῖα λόγων, μήτηρ γεγαυῖα
παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν.

Ἰσ. § 57. διδάσκειν τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι, καὶ περὶ τὴν παίδευσιν τὴν εἰρημένην ἐθίζετ' αὐτοὺς ὡς μάλιστα διατρίβειν.

12.

Σκοπὸς δὲ πάντων τῶν εἰρημένων ἡ τῶν πολιτῶν εὐδαιμονία καὶ ἡ τῆς πόλεως προκοπὴ καὶ ἐπίδοσίς ἐστιν.

Ἰσ. § 10. *διὰ γὰρ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας.*

§ 63. *ἢν γὰρ ἐγώ τε παρέχω τοιοῦτον ἐμαυτόν, οἷόν περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ τὰ παρ' ὑμῶν ὁμοίως ὑπηρετῆται, ταχέως ὄψεσθε καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ηὐξημένην καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην*[1].

Θωμ. 525, 49. *Ἐπεὶ δ' ἐξ ἁπάντων τούτων συνίστασθαι μὲν καὶ πράττειν εὖ πόλεσιν ἔνι, — ἐπιδιδόναι δὲ τοῦ λοιποῦ καὶ αὔξεσθαι τούτοις οὐκέτι, δεῖ — καὶ τούτου τοῦ μέρους οὐχ ἥκιστ' αὐταῖς.*

548, 23. *Ἐὰν γὰρ καλοὶ κἀγαθοὶ γένησθ' ὑμεῖς καὶ οἵους λόγος βούλεται, αὐτοί τ' ἄριστα πράξετε, κ. τ. λ.*

---

1) *Πρβλ. καὶ* § 32. — VIII, 136.

Κεφ. Β΄.

1.

Τοῖς ἐνθυμήμασιν ἀντιτίθεται παρ' Ἰσ. τὰ ὀνόματα [1], τὸ ἕτερον τοῦτο τῶν οὐσιωδεστάτων τοῦ ῥήτορος ἔργων, ἅπερ οὗτος εἰς τεταγμένα ἢ πολιτικά, καὶ μεταφοράς, ξένα καὶ καινὰ ὀνόματα διακρίνει [2], καὶ περὶ ὧν οὐκ ὀλιγάκις Διονύσιος ὁ Ἁλικαρνασσεὺς λόγον ποιεῖται [3]. Περὶ τὴν ἐκλογὴν τοίνυν τούτων καὶ ἁρμογήν, τὴν ἁρμονίαν ἐκ παντὸς καὶ εὐρυθμίαν διώκων, τοσαύτην καὶ τηλικαύτην Ἰσ. πρόνοιαν ἐπεδείξατο, ὅσην περ ἄν τις καὶ περὶ Θωμᾶ εἰπεῖν ἔχοι, εἰς οὗ τοὺς λόγους οὐ μόνον πληθὺς ὀνομάτων εἰσεφορήθησαν τούτῳ, ὧν τινὰ μὲν εἰς τὰ ἅπαξ εἰρημένα καταλέγεται, πολλὰ δ' ἐν τῷ πρὸς Δημόνικον καὶ μόνῳ λόγῳ εὕρηται, πλεῖστα δ' ἀμέλει καὶ ἐν τοῖς λοιποῖς Ἰσοκρ. λόγοις, ἀλλὰ καὶ προτάσεις ὅλαι καὶ φράσεις, ὡς τοῦτ' ἐκ τῶν ἐχομένων ἔστιν ἰδεῖν, ἔνθα, δεδιώς, μὴ πέρα τοῦ δέοντος ὁ λόγος ἐκμηκυνθῇ μοι, τῶν μὲν ὀνομάτων τινὰ μόνον μνημονεύσας τὰ λοιπὰ χαίρειν ἐάσω, περὶ δὲ τῶν προτάσεων πλειόνά πως λόγον ποιήσομαι.

---

1) IV, 9. "καὶ τὰ προσήκοντα περὶ ἑκάστης ἐνθυμηθῆναι καὶ τοῖς ὀνόμασιν εὖ διαθέσθαι." Πρβλ. καὶ XIII, 16.

2) Ἴδε IX, 9. Πάντα ταῦτα "πεποιημένα" ἐν τῇ Τέχνῃ λέγεται.

3) Ἰσ. 2. "καθαρὰ μέν ἐστιν (ἡ λέξις) οὐχ ἧττον τῆς Λυσίου καὶ οὐδὲν εἰκῇ τιθεῖσα ὄνομα. — 3. ἐκλέγει μὲν εὖ πάνυ (Ἰσοκρ.) καὶ τὰ κράτιστα ὀνόματα τίθησι. — 11. τοῖς κυρίοις καὶ συνήθεσι καὶ κοινοῖς ὀνόμασιν ἀμφότεροι (Ἰσ. καὶ Λυσ.) κέχρηνται". Πρβλ. καὶ Λυσ. 2. 3.

Α'.

Τῶν λέξεων "ἡνίοχος, εὐθύνειν (§ 32.), *γλῶττα* (§ 41.), *θησαυρός* (§ 29.), *κληρονομεῖν* (§ 2.), *ταμιεῖον* (§ 44.), *εἴκειν* (§ 31.), *θράσος* (§ 15.), *πῦρ* (§ 25.), *ἅρμα* (§ 32.), *ψόγος* (§ 33.), *κ. τ. λ.", αἵτινες ἐν μόνῳ τῷ πρὸς Δημόνικον λόγῳ εἴρηνται, ποιεῖται καὶ Θωμ. σποράδην χρῆσιν.*

465, 42. *τοὺς ἡνιόχους ὁρῶμεν.*

476, 11. *μηδ' ὅτι τὸν εὐθυνοῦνθ' ὅλως οὐκ ἴσχεις.*

28. *γλώσσης θησαυρός.*

480, 45. *καὶ τί τοσοῦτόν ἐστιν ἐν θησαυροῖς ...*[1]*;*

47. *ἀνάγκη τῆς αἰτίας κληρονομεῖν*[2]).

484, 35. *ταμιεῖα κεκτῆσθαι.*

500, 4. *τὸν ἅπαντα χρόνον εἴκειν (τοῖς ἄρχουσι)*[3]).

501, 36. *βασκανίαν ἢ θράσος.*

517, 14. *ἐκ πυρὸς αἰθομένοιο.*

520, 54. *ἅρμ' ἐλαύνειν*[4]).

529, 58. *οὔτ' ἐπαίνων οὔτ' αὖ ψόγων.*

Β'.

Αἱ λέξεις "ἄρκτος (XV, 213.), *ἅλς* (X, 12.), *ἀγορά* (VII, 48.), *λέων, μέμψις* (XV, 213. 144.), *ἀκοὴ* (XII, 150)" *καὶ πάνθ', ὡς εἰπεῖν, τὰ παρ' Ἰσοκρ. ἅπαξ εἰρημένα καὶ παρὰ Θωμ. εὕρηται.*

460, 5. *συμπλοκὰς ἄρκτων.*

500, 47. *τοὺς κοινοὺς ἅλας*[5]).

508, 27. *ἐπ' ἀγοραῖς ὅλως καθῆσθαι*[6]).

517, 19. *τὸν μὲν λεόντων, τοὺς δ' ἐξάντεις φλογὸς γεγονότας.*

529, 47. *ἀλλὰ καὶ μείζω ταῦτ' αὐτοῖς φέρει τὴν μέμψιν.*

531, 1. *ἀλλ' οὐδ' εἰς ἀκοὴν ὅλως δεδέχθαι.*

---

1) *Πρβλ. κεφ. κ'. τοῦ "περὶ βασιλείας" λόγου, ἔνθα πλειστάκις ἡ λέξις εὕρηται.*

2) *Ἴδε καὶ* 453, 7. — 485, 2. 39.

3) *Ἴδε καὶ* 461, 52. — 468, 39. — 520, 50.

4) *Πρβλ. καὶ* 488, 59.

5) *Οὕτω καὶ ἐν* 51. 53.

6) *Οὕτω καὶ ἐν* 520, 34. — 521, 56.

Γ'.

Λέξεών τινων Ἰσ. τοῖς ἐπιρρηματικοῖς μόνον τύποις οὐχὶ δὲ καὶ τοῖς ἐπιθετικοῖς αὐτῶν χρῆται, Θωμ. δὲ πάλιν τοὐναντίον ἢ καὶ ἀμφοτέροις.

Ἰσ. V, 65. *ἀλόγως καὶ μανικῶς.*

Θωμ. 488, 44. *καὶ μανικῷ δή τινι καὶ ἀτόπῳ γάνει χρῆσθαι.*

Ἰσ. VII, 29. *οὐδὲ τὰς ἐπιθέτους ἑορτὰς — μεγαλοπρεπῶς ἦγον* [1]).

Θωμ. 453, 13. *βασιλικὸν καὶ μεγαλοπρεπές.*

465, 47. *βασιλικῶς καὶ μεγαλοπρεπῶς.*

Δ'.

Ὀνόμασιν, ὧν τὸ ἕτερον τῶν συνθετικῶν "θεὸς ἢ φίλος" τυγχάνει, οὐκ ὀλιγάκις ἄμφω ἐν τοῖς λόγοις αὐτῶν ἐχρησάτην.

Ἰσ. IV, 29. *θεοφιλῶς.* — IX, 70. *θεοφιλέστερον.* — X, 61. *ἰσόθεον.* — XI, 13. *ἰσόθεον.* — XV, 322. *θεοφιλεῖς.*

Θωμ. 452, 51. *θεοφιλοῦς.* — 453, 2. *θεοείκελος.* — 477, 31. *θεομισές.* — 489, 14. *ἰσόθεος.* — 505, 7. *θεοφιλεῖς.* — 517, 13. *θεοφιλής.* — 528, 34. *ἰσοθέους.* — 544, 34. 40. *θεοφιλεῖς.*

Ἰσ. I, 31. *φιλόνικος, φιλαίτιος, φιλεπιτιμητής.* — II, 15. *φιλάνθρωπον, φιλόπολιν.* 45. *φιλοπόνους.* — IV, 29. *φιλανθρώπως.* 41. *φιλοξένως.* — VI, 90. *φιλοψυχεῖν.* — VIII, 96. *φιλαργυρίας.* 97. *φιλοπολέμως, φιλοκινδύνως.* — X, 57. *φιλοκάλους, φιλοπόνους.* — XII, 241. *φιλέλληνας.* — XV, 209. *φιλοσοφίας, φιλοπονίαις.* 244. *φιλοτίμως.*

Θωμ. 452, 37. *φιλανθρωπίᾳ.* — 456, 24. *φιλανθρώπως.* — 457, 36. 40. 48. 54. *φιλοπόλεμον.* — 468, 2. *φιλάνθρωπος.* — 484, 41. *φιλανθρώπως.* — 485, 42. *φιλανθρωπότερος.* 52. *φιλάνθρωπος.* — 489, 21. *φιλοσοφῶν.* —

---

1) *Πρβλ. καὶ* XV. 119. — XVI, 34. *Τὰ δ' ἐπίθετα "μανικὸς καὶ μεγαλοπρεπής" ἐν μόνῳ τῷ πρὸς Δημόνικον λόγῳ εἴρηται* (§ 15. 10).

496, 35. *φιλόσοφοι, φιλοσοφήσωσι.* — 501, 29. 41. *φιλανθρωπίαν.* — 505, 11. *φιλανθρώπους.* — 533, 41. *ἀφιλανθρώπως.* — 540, 49. *φιλοτεκνίας.*

Ε'.

Πρὸς δ' ἔτι καὶ τὰ εἰς "ικὸς" καταλήγοντα, περὶ ὧν Θωμ. καὶ λόγον ἰδίᾳ ποιεῖται [1]*, παρ' ἀμφοτέροις συχνότατ' ἐστίν.*

Ἰσ. I, 30. *ὁμιλητικός, ὑπεροπτικῶν, ὁμιλητικῶν, ὁμιλητικός.* — II, 19. *βασιλικῶς.* 21. *πολιτικῶν.* 24. *ἀρχικός, πολεμικός, εἰρηνικός.* 44. *τεχνικῶς.* 45. *καρτερικούς.* 51. *ἐριστικῶν, πολιτικῶν.* — III, 8. *ῥητορικούς.* 56. *βασιλικούς.* — IX, 46. *δημοτικός, πολιτικός, στρατηγικός, τυραννικός.* — XI, 22. *ἰατρικήν.* — XII, 241. *εἰρηνικούς, ὑπεροπτικούς, πολεμικούς.* 242. *πολεμικούς, εἰρηνικῶν, κτητικούς.* — XV, 45. *ἀντιλογικούς.* 244. *ἐπιθυμητικῶς.*

Θωμ. 453, 12. *βασιλικόν, πλεονεκτικῶς.* — 457, 28. *κηδεμονικόν.* 58. *πολεμικόν, εἰρηνικός, πολεμικός.* — 460, 8. *τακτικά.* 10. *ἡρωικήν.* 21. *πολεμικῆς.* 43. *ξενικῆς.* — 461, 21. *ξενικοῦ.* 31. *πολεμικῶς.* 32. *τακτικά.* 33. *θυμικόν.* — 464, 21. *εἰρηνικόν.* 25. *δημοτικόν.* — 500, 17. *ἀρχικούς, πειθαρχικούς.* — 509, 30. *ναυτικόν, καὶ ἀλλαχοῦ.*

ΣΤ'.

Περὶ τούτων πάντων, ὀνομάτων φημὶ παρ' ἀμφοτέροις κοινῶν καὶ ἅπαξ εἰρημένων καὶ τοῦ σχηματισμοῦ τούτων καὶ τῶν τοιούτων, πόλλ' ἂν ἔχοι τις εἰπεῖν, ἐμοὶ δ' ἀποχρῆν ἐδόκει ταῦθ', ἵνα ἐγγένηταί μοι καὶ περὶ τῶν ἄλλων εἰπεῖν. Οὐ μόνον τοίνυν ὀνόματα, ἀλλ',

---

1) *Ἐκλογ. σ.* 137. (Jacobitz). "*Τὰ εἰς ικὸς τινὰ μέν εἰσι κτητικά, οἷον· βασιλικὸς λόγος, ὃν ἔγραψε βασιλεύς, ἢ ὃν ἔγραψέ τις εἰς βασιλέα· Πλατωνικὸν βιβλίον· τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητά τινος εἴς τι, οἷον· δρομικός, ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, καὶ πυκτικός, ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ πυκτεύειν· τὰ δὲ λέγονται ἐνεργείᾳ, οἷον· μουσικός, ὁ εἰδὼς μουσικήν, καὶ γραμματικός, ὁ εἰδὼς γραμματικήν· τὰ δὲ φύσει, οἷον· λογικός, ὁ λόγῳ χρώμενος.*" *Ἴδε τὰς ἐν ταῖς ὑποσημειώσεσι τοῦ κειμένου διαφόρους διορθώσεις.*

ὅπερ ὀλίγῳ πρότερον ἔλεγον, καὶ φράσεις καὶ προτάσεις ὅλας Ἰσοκράτους Θ. ἀπώνητο, πῇ μὲν αὐταῖς λέξεσιν ἐκεῖθεν ταύτας παραλαβών, πῇ δὲ καὶ κατὰ μίμησιν τῶν ἐκείνου σχηματίσας, ὧν τοσαύτας μόνον μνημονεύω, ὅσας ἐν βραχεῖ τῳ χρόνῳ οἷός τ' ἐγενόμην συλλέξαι[1].

Θωμ.	Ἰσοκρ.
449, 35. ἀλλ' ἄρα καὶ μοίρας θνητῆς ἔλαχες εἶναι.	III, 37. ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες.
44. τὴν ἀρχὴν εὖ τε καὶ ὡς ἐχρῆν διοικεῖν.	II, 13. τὴν πόλιν ὡς χρὴ διοικήσοντα.
46. τοῖς πράγμασιν ὁμιλεῖν.	39. ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι.
452, 7. ὃς δ' ἡδοναῖς καθάπαξ δουλεύων. — 12. ὁ μὲν ἡδοναῖς δήπου δουλεύων.	29. ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν.
26. μετὰ πολλοῦ τὰς ἐντεύξεις ποιεῖσθαι.	I, 20. τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς.
48. τὴν σὴν εἰς αὐτοὺς αἰδούμενοι γνώμην.	III, 30. ὅταν — παρ' αὐτοῖς — μᾶλλόν σου τὴν γνώμην — θαυμάζωσι.
456, 6. ὡς ἂν εὐδοκιμεῖν ἔχῃς.	19. ἵν' εὐδοκιμῇς.
26. ὅπως μηδεισοῦν ἀδικήσεται τῶν ἁπάντων.	II, 16. οἱ δ' ἄλλοι (ὅπως) μηδὲν ἀδικήσονται.
457, 17. πλεονεκτεῖν ἐθέλειν.	III, 34. πλεονεκτεῖν ζητοῦσι.
18. ἐὰν — ἀδίκου μάχης ὑπάρχῃς.	XVI, 44. ἀλλ' ὑπάρχων ἠδίκεις αὐτούς.
464, 25. δημοτικὸν εἶναι. — 10. δῆμον εἶναι τῇ γνώμῃ.	IX, 46. δημοτικὸς ὤν.
45. χρηστοῦ μὲν ἔστι βασιλέως ἀπόδειξις.	II, 31. σημεῖον ἔστω τοῦ καλῶς βασιλεύειν.
469, 49. συμβούλοις χρώμενον.	III, 21. συμβούλοις χρῶνται.

1) Ἴδε καὶ κεφ. Γ'.

472, 42. *καὶ τὰ μὲν ἐπαινοῦντας, τοῖς δ' ἐλευθέρως ἐπιτιμῶντας.*	II, 28. *μὴ τοὺς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.*
476, 32. *πιστοτέρους — τῶν τοῖς ἄλλοις ὀμωμοσμένων (τοὺς λόγους ἐργάσῃ).*	III, 22. *πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους.*
493, 48. *διόρθωσαι — σαυτὸν καὶ ποίησον — βελτίω.*	II, 20. *ἂν ὡς βέλτιστον — σαυτὸν παρέχῃς.*
496, 11. *πειράσομαι καὶ τοῦτον διανῦσαι τὸν ἆθλον.*	III, 11. *πειράσομαι διελθεῖν (τὸν λόγον).*
22. *Ὅσον γὰρ ἁπάντων κατὰ τὸ σχῆμα προέχει, τοσοῦτο κατ' ἀρετὴν αὐτὸν προὔχειν χρεών.*	II, 11. *ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις.* — III, 43. *ταύταις ταῖς ἀρεταῖς προέχειν τῶν ἄλλων.*
505, 88. *οἷόν τινα τῆς πολιτείας στοιχεῖα.*	II, 16. *στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας.*
508, 44. *ἀρετῆς, ἧς οὐδὲν τιμιώτερον.*	I, 5. *ἀρετῆς, ἧς οὐδὲν — σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι.*
517, 22. *ἡ δὲ (δικαιοσύνη) ἅτε θεοφιλὴς οὖσα ....*	VIII, 35. *θεοφιλέστερον τὴν δικαιοσύνην εἶναι.*
525, 59. *ἐπαινεῖν καὶ θαυμάζειν.*	XII, 242. *ἐπαινεῖν καὶ θαυμάζειν.*
549, 30. *καὶ πρὸς ἀρετὴν εὖ διακεῖσθαι.*	IX, 5. *φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετήν.*

Ζ'. Λέγειν καὶ πράττειν. Λόγῳ καὶ ἔργῳ.

Ἰσ. II, 28. *ὅ, τι ἂν λέγῃς ἢ ποιῇς.*
XII, 235. *ὅ, τι ἂν σὺ λέγῃς ἢ πράττῃς.*
Θωμ. 456, 41. *λέγεις καὶ πράττεις.*
469, 18. *καὶ λέγειν καὶ ποιεῖν* [1]).

---

1) *Οὕτω καὶ ἐν* 472, 49.

477, 11. καὶ ποιεῖν καὶ λέγειν[1]).

489, 22. καὶ οἷς λέγει καὶ οἷς πράττει.

520, 25. καὶ λέγειν καὶ πράττειν.

Πρὸς δ' ἔτι

'Ισ. II, 33. τοὺς λόγους — καὶ τὰς πράξεις.

III, 1. ἐκ τῶν ἔργων ἢ τῶν λόγων[2]).

2. περὶ τὰς πράξεις — ἢ τοῖς λόγοις.

61. ἐν τοῖς ἔργοις — ἢ τοῖς λόγοις· — ἐν τοῖς λόγοις — ἐν τοῖς ἔργοις.

Θωμ. 465, 29. μήτε λόγοις μήτ' ἔργοις.

44. καὶ λόγῳ καὶ ἔργῳ[3]).

2.

Ὥσπερ 'Ισ. ἁπανταχοῦ τῶν λόγων αὐτοῦ τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν πολλάκις ἐπαναλαμβάνει[4]), τὴν δ' εὐφωνίαν ἐκ παντὸς καὶ

---

1) Οὕτω καὶ ἐν 524, 38.

2) Οὕτω καὶ ἐν § 22.

3) Ἐν 548, 18. λέγει· „ἃ μὲν νῦν αὐτὸς ἔφην, ταῦθ' ὑμᾶς ἐνδεδεῖχθαι τοῖς ἔργοις."

4) Ἐν XV, 74. λέγει· „καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους ἐγὼ μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων, ἄλλως τε καὶ νῦν, ὅτ' οὐ μόνον μικροῖς μέρεσιν, ἀλλ' ὅλοις εἴδεσι προειλόμην χρῆσθαι πρὸς ὑμᾶς." Πρβλ. καὶ V, 94. — Ὁ δὲ Christ ἐν τῇ Litteraturgeschichte αὐτοῦ (§ 252.) λέγει τάδε· Aber immerhin bleibt doch noch das beste an Isokrates die formale Vollendung; der Inhalt seiner Reden dreht sich um wenige Gemeinplätze der Politik, vermischt mit abgeschmackten Tiraden auf die Grösse seiner Kunst. Das Lob der Bildung, die Ermahnung der Hellenen zum einträchtigen Zusammenstehen, die Vorschriften der Humanität, Gerechtigkeit, Mässigung vernimmt man gern aus seinem beredten Munde; aber das sind Gedanken, die jeder in den Mund nehmen konnte, und deren stete Wiederholung einen langweiligen Eindruck macht. Der Panathenaikos ist zur Hälfte aus Phrasen älterer Reden zusammengesetzt, und in die Rede über den Vermögenstausch hat Isokrates zum Belege seiner patriotischen Gesinnung ganze Stellen aus seinen früheren Reden eingelegt. Das zeugt von starker Geistesarmut. Dabei war aber unser Rhetor so eitel,

εὐρυθμίαν διώκων καὶ μόνον οὐ κολαπτῆρσι καὶ ξυστῆρσι τὰς περιόδους ἀπολεαίνειν καὶ ῥυθμίζειν πειρώμενος λέξεσί τε καὶ φράσεσι ταῖς αὐταῖς οὐκ ὀλιγάκις καὶ οὐ προσηκόντως χρῆται πέρα τοῦ χρησίμου οὕτω συχνάκις τὸν λόγον ἀπομηκύνων καὶ φορτικὸν αὐτὸν καθιστάς [1]), ὅτου δὴ ἕνεκα, οὐδαμῶς οὐδέ γε τὸ παράπαν ἄξιος ταύτης ὤν, καὶ λαβὴν τῇ τολμηρᾷ καὶ καταδικαστικῇ τοῦ **Niebuhr** κρίσει παρέσχεν [2]), οὕτω καὶ Θωμ., παρ' ᾧ ἀμφότερα ταῦτα πλείω ἐστὶ καὶ συνηθέστερα κατὰ τὴν χάριν μόνον τῶν ἐκείνου λειπόμενα. Καὶ περὶ μὲν τοῦ ἑτέρου τούτων ἀποχρώντως ἤδη ἐν τῷ **Α'**. κεφ. εἴρηται, τῶν δὲ φράσεων καὶ προτάσεων, ἅσπερ παρ' ἀμφοτέροις θαμὰ ἐπαναλαμβανομένας εὑρίσκομεν, τῶν μὲν πλειόνων ἐνταῦθα μνημονεύω, τῶν δ' ὑπολειπομένων πάλιν ἐν τῷ **Γ'** καὶ **Δ'**. κεφ.

Ἰσοκράτης

V, 94. ἔτι δ' εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπειχόμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων . . .	XV, 74. καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους ἐγὼ μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων.
VI, 48. Ὅστις οὖν ὁρῶν τοσαύτας μεταβολὰς γεγενημένας ἐφ' ἡμῶν οἴεται παύσεσθαι, λίαν ἀνόητός ἐστι.	VII, 8. Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημένας καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρε-

---

seine Redekunst für das Höchste zu halten und dieselbe als die eigentliche Weisheit auszugeben.

1) Κατὰ Φιλόνικον τὸν διαλεκτικὸν ζωγράφῳ ἔοικε ταῖς αὐταῖς ἐσθήσεσι καὶ τοῖς αὐτοῖς σχήμασι πάσας ἐπικοσμοῦντι τὰς γραφάς. — Διον. Ἰσ. 3. "ταῦτα μέντοι καὶ μακροτέραν αὐτῷ ποιεῖ τὴν λέξιν πολλάκις· — οὐ γὰρ ἅπαντα δέχεται οὔτε μῆκος τὸ αὐτὸ οὔτε σχῆμα τὸ παραπλήσιον οὔτε ῥυθμὸν τὸν ἴσον, ὥστ' ἀνάγκη παραπληρώμασι λέξεων οὐδὲν ὠφελουσῶν χρῆσθαι."

2) Vorträge üb. a. Gesch. V, σ. 404. Isokrates, λέγει ὁ **Niebuhr**, ist ein durchaus schlechter, kümmerlicher Schriftsteller, einer der gedankenlosesten, armseligsten Geister. Er hat sich eine Kunst gebildet, aber eine Kunst des Scheins, der Worte und der Art des Redens, und noch mehr der Redensarten, nicht der Gedanken.

	θείσας πιστεύει τοῖς παροῦσι, λίαν ἀνόητός ἐστι.
XII, 241. *τῆς ἰσότητος ἡγεμόνας.*	XII, 242. *τοὺς τῆς ἰσότητος προεστῶτας.*
XV, 6. *καὶ τὸν βίον, ὃν ζῶ.*	XV, 44. *καὶ τὸν βίον, ὃν ζῶ.*
108. *οὐδὲ πολλὰς ὑμᾶς εἰσφορὰς ἀναγκάσας εἰσενεγκεῖν.*	156. *οὐδ᾽ εἰσφορὰς εἰσενεγκεῖν ἀναγκασθείς.*
145. *τὰς δ᾽ ἄλλας λειτουργίας πολυτελέστερον λελειτουργήκατε.*	XIX, 36. *τίνες γὰρ — μεγαλοπρεπέστερον τὰς ἄλλας λειτουργίας ἐλειτούργησαν;*

Θωμᾶς

448, 13. *Οὔτ᾽ αὐτός μοι δοκεῖς, κράτιστε βασιλεῦ.*	452, 18. *οὐκ ἄν ποτ᾽ αὐτός μοι δοκεῖς, βασιλεῦ.*
15. *κάλλιστα καὶ λυσιτελέστατα.*	457, 8. — 460, 45. — 473, 33. — 501, 11. *κάλλιστον καὶ λυσιτελέστατον* [1]).
	16. *κάλλιστα καὶ λυσιτελῶς.*
	508, 2. *τῶν καλλίστων καὶ λυσιτελεστάτων.*
	517, 10. *λυσιτελεστέραν τε καὶ καλλίω.*
17. *καὶ θαυμαστήν τινα διὰ πάντων τὴν παρὰ πάντων φέρεσθαι ψῆφον.*	489, 19. *καὶ μόνος τῶν πάντων τὴν τῶν Κολοφωνίων ψῆφον ἐν τῇ κοινῇ ταύτῃ φέρεται φύσει.*
30. *Καίτοι τί λέγω;*	464, 3. *Καίτοι τί λέγω;*
	468, 50. *Καὶ τί λέγω χρημάτων;*
449, 18. *τούτων ὑμᾶς αὐτοὺς ἀφιστάναι καὶ μεθιστάναι πρὸς ἃ δεῖ.*	489, 18. *τοσοῦτο μᾶλλον ἀφίσταται μὲν τῶν ἀνθρώπων, μεθίσταται δὲ πρὸς Θεόν.*

1) Ἐν 453, 40. "*μέγιστον καὶ λυσιτελέστατον.*"

21. *καλοῖ παντὸς εἶναι παράδειγμα.*	465, 51. *καλοῦ παντὸς ἂν γενέσθαι παράδειγμα* [1].
31. *εἴπερ τοῦ κάλλιστα καὶ ὡς ἀληθῶς ἄρχειν μάλιστα μέλει (σοι).*	457, 48. *εἴπερ ὡς ἀληθῶς εἰρήνης σοι μέλει.*
54. *τοσαύτην καὶ τηλικαύτην.*	480, 46. *τοσαύτης καὶ τηλικαύτης.*
	497, 58. *τοσαύτῃ καὶ τηλικαύτῃ.*
	493, 26. *τοσαύτην καὶ τηλικαύτην.*
	452, 57. — 492, 16. — 517, 59. *τοσούτων καὶ τηλικούτων* [2].
	517, 35. *τοσούτους καὶ τηλικούτους.*
452, 4. *καλλίστην καὶ τελεωτάτην.*	493, 22. *καλλίστην καὶ τελεωτάτην* [3].
7. *ὃς δ' ἡδοναῖς καθάπαξ δουλεύων.*	452, 12. *ὁ μὲν ἡδοναῖς δήπου δουλεύων.*
22. *ἀσφαλῶς καὶ βεβαίως.*	456, 38. *ἀσφαλεῖς καὶ βεβαίας.*
453, 5. *καὶ τῆς καθ' ἡμᾶς φύσεως γεγονώς.*	481, 45. *καὶ τοῦ καθ' ἡμᾶς πεφυκότος* [4].
13. *βασιλικόν τε καὶ μεγαλοπρεπές.*	465, 47. *βασιλικῶς τε καὶ μεγαλοπρεπῶς.* — 468, 14. *βασιλικῆς μεγαλοπρεπείας.*
19. *οὐκ ἂν δυναίμην εἰπεῖν.*	481, 54. *οὐκ ἂν εἰπεῖν δυναίμην.*
25. *ὃ μηδ' ἂν εἷς ἐνέγκοι ῥᾳδίως μὴ ὅτι γ' ὁ βασι-*	533, 59. *καὶ ὃ μηδ' ἂν εἷς μοι δοκεῖ μὴ ὅτι παθεῖν ἀνα-*

---

1) *Ἐν* 520, 6. "*καὶ βίου σώφρονος εἶναι παράδειγμα.*"

2) *Ἴδε καὶ* 528, 19.

3) *Ἐν* 497, 16. "*μεγίστην καὶ τελεωτάτην.*"

4) *Πρβλ.* 449, 36. "*καὶ τοῦ καθ' ἡμᾶς πράγματος.* — 460, 42. *καὶ τοῦ καθ' ἡμᾶς καταλόγου.* — 480, 33. *τοῦ καθ' ἡμᾶς συνεδρίου.*"

λεύς, ἀλλ' οὐδὲ τῶν ἄλλων γ' ὁστισοῦν.	σχέσθαι, ἀλλ' οὐδ' εἰς ἀκοὴν ὅλως δεδέχθαι.
456, 25. μετὰ πολλοῦ τοῦ περιόντος.	465, 3. — 476, 46. — 492, 13. — 520, 43. μετὰ πολλοῦ τοῦ περιόντος. — 453, 45. μετὰ πολλοῦ τοῦ περιεῖναι.
57. οὐδεὶς τὸ παράπαν ἀδικούμενος ἔσται.	457, 3. οὔτ' ἂν οὐδεὶς ἔτ' ἀδικούμενος εἴη.
457, 41. Τὸν μάχεσθαι μεμελετηκότα.	460, 1. μὴ μάχεσθαι μεμελετηκώς.
460, 7. τὰ τακτικὰ μελετῶντι.	521, 15. μελετῶντας τὰ τακτικά.
34. πᾶσαν ὑπὲρ τοῦ γενέσθαι κύριον — εἰσφέρειν σπουδήν.	488, 8. πᾶσαν ὑπὲρ αὐτῶν εἰσφέρειν σπουδήν. — 492, 12. τοσαύτην ὑπὲρ αὐτῶν εἰσφέρειν σπουδήν. — 540, 58. πᾶσαν ὑπὲρ τῶν παίδων εἰσφέρειν σπουδήν. — 541, 51. πᾶσαν ὑπὲρ αὐτοῦ τούτου σπουδὴν εἰσενέγκαι.
	520, 14. πᾶσαν τούτου πέρι σπουδὴν ποιουμένους. — 524, 21. τοσαύτην — ποιεῖσθαι σπουδήν.
461, 3. τὴν γιγνομένην καὶ οὗτοι σῴζουσι τάξιν.	537, 14. ταύτην ἑκάστοτε σῴζειν τὴν τάξιν. — 540, 10. ταύτην εἰς τέλος σῴζειν τὴν τάξιν.
31. μετιόντας τὰ τακτικά.	540, 33. τοῖς τὰ τακτικὰ μετιοῦσι.
36. οὕτω γνώμης ἐχόντων.	461, 50. οὕτω γνώμης ἔχοντας.
464, 56. καὶ τοῦ καλοῦ διὰ πάσης ἰδέας ἥκοντας.	460, 21. καὶ πολεμικῆς — εὖ ἥκοντα τέχνης καὶ πείρας. — 544, 7. καὶ φρενῶν

	εὖ ἥκοντας. — 505, 44. ὁ τρόπων εὖ ἥκων[1]).
465, 13. οὐδὲν ἂν ἦν πρᾶγμα.	513, 3. πρᾶγμα οὐδέν[2]).
33. μελεδωνὸς καὶ προστάτης.	469, 16. προστάτης καὶ φροντιστής.
34. χεῖρα σῴζουσαν ὑπερίσχειν.	500, 34. — 509, 50. χεῖρα σῴζουσαν ὑπερίσχειν.
52. τρυφὰς καὶ τὰς οὐκ ἐπαινουμένας ἡδονάς.	533, 24. τρυφήν τε καὶ τὰς οὐκ ἐπαινουμένας ἡδονάς.
468, 5. χρημάτων γε δοῦλος αὐτὸς ὤν.	468, 3. εἰ δὲ δοῦλος εἰ τούτων. — 533, 28. χρημάτων γάρ ἐστι δοῦλος.
16. ὥσπερ ἄγος.	477, 2. ὥσπερ ἄγος.
24. μεγίστων καὶ θαυμαστῶν.	484, 30. μεγίστων καὶ θαυμαστῶν. — 521, 48. μεγίστης καὶ θαυμαστῆς. — 456, 20. — 529, 33. μεγάλης καὶ θαυμαστῆς. — 540, 25. μεγίστην καὶ θαυμαστήν. — 537, 3. μεγίστας καὶ θαυμαστάς. — 505, 56. θαυμαστόν τε καὶ μέγιστον.
48. ὅτι πλείστοις χρήμασι περιρρεῖσθαι.	477, 27. πλείστοις ὅσοις χρήμασι περιρρεῖσθαι. — 520, 36. παντοδαποῖς τουτοισὶ περιρρεῖσθαι. — 544, 30. μὴ χρήμασι περιρρεῖσθαι.
53. τοῦτο γὰρ καὶ τοὔνομα βούλεται.	489, 15. ὃ δὴ καὶ τοὔνομα βούλεται.
55. καὶ μὴ πρὸς ἀνθρώπων ὄνησιν.	492, 7. καὶ πρὸς κοινὴν ἀνθρώπων ὄνησιν.

1) Πρβλ. καὶ 465, 48. — 548, 11.

2) Ἐν 537, 19. "οὐκ ἂν εἴχομεν πράγματα."

39. *εἴκειν αἰσχρῶς.*	505, 29. *εἴκειν αἰσχρῶς.*
469, 53. *τὸ κοινῇ συνοῖσον.*	469, 21. *τοῦ κοινῇ συνοίσοντος.* — 476, 53. *τὸ κοινῇ ξυνοῖσον.* — 520, 13. *ὃ δὲ κοινῇ μέλλει συνοίσειν.* — 525, 15. *τοῦ κοινῇ ξυμφέροντος.*
472, 3. *κάλλιστα βεβουλεῦσθαι.*	472, 8. *καλῶς βεβουλεῦσθαι.* — 536, 47. *βουλεύεσθαι καλῶς.* — 537, 27. *κάλλιστα βεβουλεῦσθαι.*
56. *ἀποστρέφεσθαι καὶ μισεῖν.*	468, 15. *ἀποστρέφονται καὶ μισοῦσι.* — 508, 35. *ἀποστρέφεσθαι καὶ μισεῖν.*
476, 16. *ἀπέχεσθαι μὲν καθάπαξ κακίας, ἔχεσθαι δ' ἀρετῆς.*	517, 6. *ἀπέχεσθαι μὲν παντάπασιν —, ἔχεσθαι δὲ δικαιοσύνης.*
41. *μεγαλοψυχίᾳ πρὸς πάντα κεχρῆσθαι.*	456, 6. *μεγαλοψυχίᾳ πρὸς πάντας κεχρῆσθαι.* — 504, 20. *πρὸς τοὺς ἔχοντας μεγαλοψυχίᾳ κεχρῆσθαι.*
57. *ἄνω καὶ κάτω.*	501, 52. — 509, 55. — 524, 48. — 533, 13. *ἄνω καὶ κάτω.*
480, 53. *ἑλοῦ τὸ δεύτερον, ὦ βασιλεῦ.*	457, 53. *ἑλοῦ μᾶλλον.* — 485, 36. *Δυοῖν τοίνυν θάτερον ἑλοῦ, βασιλεῦ.*
481, 9. *καὶ ὃ τούτου μεῖζον.*	489, 25. *ὃ τούτου μεῖζον.* — 513, 29. *καὶ ὃ τούτου μεῖζον.*
484, 40. *ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος.*	477, 46. — 481, 16. *ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος.* — 468, 40. *τοῦ κοινῇ λυσιτελοῦντος (χάριν).* 57. *τῆς κοινῆς ὠφελείας.* — 548, 16. *τῆς τε κοινῆς ὠφελείας τοῦ γε καθ' ἕκαστον λυσιτελοῦντος ἀξίως.*

53. τοιούτοις ὅπλοις πεφράχθαι.	521, 13. ὅπλοις ὡς πλείστοις πεφράχθαι.
485, 27. δῖλον ἐκεῖθεν.	492, 46. δῆλον δ' ἐκεῖθεν.
488, 20. ἐν τούτῳ τῷ μέρει.	493, 58. ἐν τούτῳ δήπου μέρει. — 532, 18. τούτῳ τῷ μέρει. — 516, 2. τοῦτο τὸ μέρος.
28. λόγους μεταχειρίζειν.	492, 17. λόγους μεταχειρίζειν.
492, 6. μετὰ μείζονος — τῆς παρασκευῆς.	473, 39. μετὰ μείζονος — τῆς παρασκευῆς. — 504, 25. μετὰ μείζονος παρασκευῆς. — 509, 45. μετὰ τοσαύτης — τῆς παρασκευῆς.
10. ἅτε κοινὸν ὀφείλων ὄφελος εἶναι.	497, 31. κοινὸν ὄφελος ἔσται. — 520, 11. ὡς κοινὸν ὄφελος πᾶσι.
11. ἀντέχεσθαι καὶ τοσαύτην ὑπὲρ αὐτῶν εἰσφέρειν σπουδήν.	500, 36. ἀντέχεσθαι καὶ φροντίζειν.
31. τὰ πλείστου φασὶν ἄξια χρῆσθαι.	472, 52. τὰ πλείστου φασὶν ἄξια χρῆσθαι.
39. τὸ θεσπέσιον τουτὶ χρῆμα.	545, 43. τὸ θαυμαστὸν καὶ θεσπέσιον τουτὶ χρῆμα [1].
40. πολὺν ἤδη χρόνον.	493, 10. πολὺν ἤδη χρόνον. — 476, 56. πολύν τινα χρόνον.
42. καὶ πρὸς τὸ μηδὲν ἤδη χωρῆσαν.	465, 6. καὶ πρὸς τὸ μηδὲν ἤδη χωρεῖν.
493, 4. ἵνα δὲ μετὰ Θεμιστοκλέους — καὶ τοὺς Πυθαγορείους παρῶ, τίς οὐκ οἶδε κ. τ. λ.;	516, 38. Ἵνα δ' Εὐρυσθέα τὸν Σθενέλου παρῶ, — τίς οὐκ οἶδε κ. τ. λ.;

1) Ἐν 489, 43. "τοῦ θαυμαστοῦ τοῦδε καὶ δαιμονίου — πράγματος."

40. *βασκανίας καὶ φθόνου.*	500, 29. *βασκανίας καὶ φθόνου* [1].
57. *ὑπὸ τοῦ σαυτὸν σφόδρα φιλεῖν.*	476, 9. *τῷ σφόδρα σαυτὸν φιλεῖν.*
496, 15. *κοινωνοὶ Θεοῦ γεγονότες.*	449, 50. *κοινωνὸς τῶν Ὀλύμπου πραγμάτων.* — 497, 2. *Θεοῦ κοινωνὸν καταστάντα.* — 540, 24. *οἱ τοῦ Χριστοῦ κοινωνοί* [2].
33. *Εἰ γὰρ ἀληθής ἐστιν ὁ τοῦ Πλάτωνος λόγος, ὥσπερ οὖν ἐστι.*	501, 56. *Εἰ δ' ἀληθῆ ταῦτα, ὥσπερ οὖν ἀληθῆ.*
497, 16. *τῷ λόγῳ κεχρῆσθαι.*	497, 40. *τοῖς αὐτοῖς λόγοις κεχρῆσθαι.*
41. *μηδὲν προσπεριεργάζεσθαι.*	533, 39. *μηδὲν προσπεριεργάζεσθαι.*
54. *καὶ πᾶσαν ἄλλην ἀρετὴν σπουδαστέον.*	505, 36. *ἀρετὴν σπουδαστέον ἂν εἴη διὰ βίου παντός* [3].
500, 30. *ἀπεχθάνεσθαι καὶ μισεῖν.*	536, 21. *ἀπεχθάνεσθαι καὶ μισεῖν.*
501, 4. *ἡλίκον τὸν ὄλεθρον ἴσχει;*	532, 42. *ἡλίκον θεόθεν οἴσει τὸν ὄλεθρον;*
44. *πλείστης ὅσης ὑπὸ τῶν εὐπόρων ἀξιοῦσθαι προνοίας.*	464, 6. *τῆς γιγνομένης ἕκαστον τιμῆς ἀξιοῦν.* — 488, 9. *καὶ παντοδαπῆς ἀξιοῦν προνοίας.* — 505, 6. *τῆς γιγνομένης ἀξιοῦντες προνοίας.*
47. *τὸ ξυγγενὲς καὶ οἰκεῖον.*	532, 11. *τὸ ξυγγενὲς καὶ κατὰ φύσιν οἰκεῖον.*
504, 6. *συναλγεῖν καὶ συνάχθεσθαι.*	536, 20. *συνάχθεσθαι καὶ συναλγεῖν.*

---

1) *Ἐν* 501, 35. "*βασκανίαν ἢ θράσος.*"

2) *Πρβλ. καὶ* 452, 54. "*κοινωνοὺς ταυτησὶ τῆς προαιρέσεως.* — 505, 6. *κοινωνοὺς ὄντων.* — 537, 45. *παιδείας καὶ λόγων κοινωνούς.*"

3) *Πρβλ.* 505, 4. — 529, 12. — 544, 1.

51. *διανοεῖσθαι καὶ πράσσειν* [1]).	532, 12. *διανοεῖσθαι καὶ πράσσειν.*
52. *τῇ τύχῃ δὲ καὶ τῇ τῆς τύχης φορᾷ.*	533, 11. *τῇ τύχῃ δὲ καὶ ταῖς τῆς τύχης στροφαῖς.*
505, 54. *βέλτιστοι διὰ πάντων καὶ ἀκούειν καὶ εἶναι.*	505, 11. *φιλανθρώπους μᾶλλον καὶ ἀκούειν καὶ εἶναι.* — 520, 11. *κοινὸν ὄφελος πᾶσι καὶ ἀκούειν καὶ εἶναι.* — 541, 45. *ἢ μηδενὸς τὸ παράπαν ἀξίους εἶναι, μηδ' ἀκούειν ὅλως ὃ προήρηνταί τε καὶ λέγονται.*
508, 36. *χαίρειν ἐᾶν.*	473, 11. — 525, 10 — 532, 53. *χαίρειν ἐᾶν.*
512, 52. *ποῦ ποτε ἴσον καὶ σῷζον λόγον —;*	536, 2. *ποῦ γάρ ἐστι λόγον σῷζον —;*
513, 32. *χρηστάς γ' ἔχειν ἐλπίδας.*	485, 45. *μετὰ χρηστῶν τῶν ἐλπίδων ἀπιέναι.* — 532, 10. *χρησταῖς ταῖς ἐλπίσι συζῆν.*
56. *παλινῳδίαν ᾄσῃ.*	520, 50. *παλινῳδίαν ᾄσεται.*
516, 51. *ἀθάνατον κατὰ παντὸς ἑστάναι τοῦ χρόνου.*	528, 23. *ἀκίνητον κατὰ παντὸς ἑστάναι τοῦ χρόνου.* — 449, 12. — 536, 32. *οὕτω δὲ κατὰ παντὸς ἵσταται χρόνου.*
517, 39. *ἀδικίας καὶ προδοσίας ἁλώσεσθε.*	524, 1. *Ἀλλ' οὐχ ἁλώσονται προδοσίας . . .* [2]);
520, 26. *μηδὲν προθυμίας ἐλλείπειν.*	524, 50. *μηδὲν τῶν δεόντων ἐλλείπειν.* — 537, 28. *μηδέν τι τῶν εἰκότων ἐλλελοιπέναι.*

1) Ἐν 472, 14. "*καὶ βουλεύου καὶ πρᾶττε.* — 508, 47. *φρονεῖν τε καὶ πράσσειν.*"

2) Ἐν 480, 42. "*τοῦτο μὲν ἀδικίας, τοῦτο δὲ συκοφαντίας καὶ πλεονεξίας ἁλισκόμενοι.* — 485, 2. *παρανομίας ἁλίσκεσθε.* — 513, 1. *κακοηθείας ἁλίσκεσθε.*"

524, 50. *ἐγρηγορέναι καὶ νήφειν.*	525, 28. *ἐγρηγορέναι καὶ νήφειν.*
525, 56. *τὸν αἰῶνα διάγειν.*	488, 16. *τὸν αἰῶνα διάξειν.* — 537. 56 *τὸν ἅπαντα διάξεται χρόνον.*
528, 11. *εὔδηλον ὡς.*	456, 11. — 529, 2. — 541, 27. *εὔδηλον ὡς.*
529, 3. *τῶν προσηκόντων ἀποστεροῦντες.*	473, 49. *τῶν προσηκόντων δικαίων ἀποστερῶν.* — 529, 28. *τῶν προσηκόντων ἀποστεροῦντές*[1]).
41. *δημαγωγὸς καὶ προστάτης.*	456, 17. *δημαγωγεῖς καὶ προστατεῖς.*
57. *οἷά ποτ' ἂν ᾖ.*	496, 28. *ὁποῖός ποτ' ἂν ᾖς.*
533, 31. *δίκαιοι πάντως ἐσμέν.* — 464, 5. *δίκαιος ὂν εἴης.* — 493, 56. *δίκαιος εἶ.*	540, 26. *δίκαιοι πάντως ἐσμέν.* — 460, 25. — 492, 10. *δίκαιος ἂν εἴης.* — 513, 5. *εἴη (ἂν) δίκαιος.* — 453, 52. *δίκαιος ὤν.* — 55. 57. *δίκαιος εἶ.*
540, 25. *καὶ τὴν μεγίστην καὶ θαυμαστὴν ταύτην αὐτοῦ πρόσρησιν περικείμενοι.*	449, 35 *καὶ μέγεθος πραγμάτων περικεῖσθε τοσόνδε.* — 505, 53. *τὸν ἐξ ἀρετῆς περικείμενοι κόσμον.*
27. *προὐργιαίτατα ποιεῖσθαι.*	545, 1. *προὔργου ποιεῖσθε.*
541, 12. *χρηστοὶ καὶ ἐπιεικεῖς.*	452, 25. *χρηστότητι καὶ ἐπιεικείᾳ τρόπων.*
549, 30. *καὶ πρὸς ἀρετὴν εὖ διακεῖσθαι.*	460, 23. *πρὸς εὐψυχίαν ὡς μάλιστα διακεῖσθαι.*
496, 37. *θαυμαστοῦ τινος — διὰ πάντων προστατοῦντος λαχούσας.*	497, 35. *θαυμαστοῦ τινος διὰ πάντων τοῦ προστάτου τυχόντας.*

1) *Πρβλ.* 477, 42. — 485, 6. — 516, 11. — 536, 18. — 537, 40.

3.

Ἰσ. ἐν Εὐαγ. § 9. λέγει· "τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δίδονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοὺς θεοὺς τοῖς ἀνθρώποις οἷόν τ' αὐτοῖς ποιῆσαι καὶ διαλεγομένους καὶ συναγωνιζομένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλιπεῖν ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν· τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς μόνον καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι· πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν." Οὐχ ἧττον οὗτος τὴν φυσικὴν καὶ ἀφελῆ ἀποφεύγων σύνθεσιν, τὴν πομπικὴν δὲ καὶ ποικίλην ἐκλέγων, καὶ τοῦ ἐπιχαρίτως καὶ μουσικῶς καὶ εὐρύθμως λέγειν στοχαζόμενος μᾶλλον ἢ τοῦ ἀφελῶς καὶ ἁπλῶς [1]), οὐ μόνον ὀνόμασιν [2]) ἀλλὰ καὶ ἐκφοραῖς ὅλαις ποιητικαῖς καὶ μέτροις πολλάκις χρῆται [3]), οὗ δὴ ἕνεκα καὶ πολλοὶ τῶν παλαιῶν ἐμέμψαντο αὐτοῦ, ἐν οἷς καὶ Διονύσ. (Ἰσ. 12.) λέγων· "τῆς μέντοι ἀγωγῆς τῶν περιόδων τὸ κύκλιον καὶ τῶν

---

1) Πρβλ. Ἰσ. XIII, 16. — XV, 46. — Κικ. Orat. 52, 174 καὶ Brut. 8 32.

2) Πρβλ. Ἀριστοτέλ. Ῥητορ. III, 7. σ. 133. Sp. "τὰ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς — καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαίνοις ἢ ψόγοις ἢ ὀργῇ ἢ φιλίᾳ, οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ Πανηγυρικῷ ἐπὶ τέλει "φήμη δὲ καὶ γνώμη" (§ 186) καὶ "οἵτινες ἔτλησαν" (§ 96. κέ." — Τεχν. ἀποσπ. 12. "ὀνόματι (ὀνόμασι Sauppe) δὲ χρῆσθαι ἢ μεταφορᾷ μὴ σκληρᾷ ἢ τῷ ἥκιστα πεποιημένῳ ἢ τῷ γνωριμωτάτῳ."

3) Τέχν. ἀποσπ. 12. "ὅλως δὲ ὁ λόγος μὴ λόγος ἔστω, ξηρὸν γάρ, μηδὲ ἔμμετρος, καταφανὲς γάρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ, μάλιστα ἰαμβικῷ ἢ τροχαϊκῷ." — Κικέρ. Orat. 190. Elegit ex multis Isocrati libris triginta fortasse versus Hieronymus, plerosque senarios, sed etiam anapaestos. — Ἰσοκρ. νεώτερος ὤν, ὡς αὐτὸς τοῦθ' ὁμολογεῖ (V, 27. καὶ Ἐπιστ. VI, 6), ταῖς περὶ τὴν λέξιν εὐρυθμίαις καὶ ποικιλίαις ἰδίᾳ τὸν νοῦν προσχὼν πάντα τἄλλα παρ' οὐδὲν ἔθετο. Πρβλ. Blass, Att. Bereds. II, 145. κέ.

σχηματισμῶν τῆς λέξεως τὸ μειρακιῶδες οὐκ ἐδοκίμαζον· δουλεύει γὰρ ἡ διάνοια πολλάκις τῷ ῥυθμῷ τῆς λέξεως καὶ τοῦ κομψοῦ λείπεται τὸ ἀληθινόν, κράτιστόν τ' ἐπιτήδευμα ἐν διαλέκτῳ πολιτικῇ καὶ ἐναγωνίῳ τὸ ὁμοιότατον τῷ κατὰ φύσιν· βούλεται δ' ἡ φύσις τοῖς νοήμασιν ἕπεσθαι τὴν λέξιν, οὐ τῇ λέξει τὰ νοήματα[1]." Οὕτω δὲ καὶ Θωμ. χαριέστερον πάντοτε καὶ ἀνθηρότερον βουλόμενος λέγειν οὐ μόνον τὰ ὀνόματα τοῖς ὀνόμασιν ἐπιτηδείως πάνυ συναρμόττει καὶ τῶν προτάσεων καὶ περιόδων τὰς τελευτὰς εὐρύθμους ἀείποτ' ἐθέλει εἶναι, ὡς τοὔθ' ἁπλῆ τις ἀνάγνωσις τμήματος λόγου τινὸς αὐτοῦ τρανέστατ' ἀποδεῖξαι οἷά τ' ἐστίν, ὅτου ἕνεκα καὶ σμικρὸν λόγον περὶ αὐτοῦ ποιήσασθαι περιττὸν ὅλως ἡγούμεθα, ἀλλὰ καὶ ὀνόματα καὶ φράσεις καὶ χωρία ὅλα ποιητῶν ὡς τὰ πολλὰ τοῖς λόγοις αὐτοῦ ἐγκατασπείρειν φιλεῖ.

449, 42. ἀλλὰ τὴν αὐτὴν τοῖς προγόνοις καὶ αὐτὸς ἐξανύσεις.

453, 2. θεοείκελός τις ὤν.

32. αὐτοκρατόρων βασιλεύτατος.

460, 38. τὴν περὶ τῶν ὅλων σκέψιν ἐν τούτῳ μόνῳ χωλεύειν ἐᾶν.

465, 10. Εἰ μὲν γὰρ οἷόν τ' ἦν ὥσπερ ὑπόπτερον ἑκασταχόσε χωρεῖν καὶ διὰ γῆς πάσης ἰέναι οἵους τοὺς Τριπτολέμους διαύλους φασὶ ποιηταί, κ. τ. λ.

488, 44. μανικῷ δή τινι καὶ ἀτόπῳ γάνει χρῆσθαι.

Οὕτω καὶ ἐν 449, 36. — 476, 4. 16. — 480, 52. — 492, 39. — 501, 50. — 508, 55. — 517, 32. — 521, 14. — 544, 25.

Πρὸς δ' ἔτι καὶ ταῦτα·

460, 9. καὶ τοῦτ' αὐτὸ μένος πνείουσαν (τὴν ψυχήν).

465, 34. χεῖρα σῴζουσαν ὑπερίσχειν[2]).

---

1) Περὶ τῶν ποιητῶν καθόλου Ἰσ. πολλαχοῦ λέγει τὸ αὐτό, ὅπερ καὶ ἐν XII, 34. "περὶ μὲν οὖν τῶν ποιητῶν αὖθις ἐροῦμεν, ἤν μή με προανέλῃ τὸ γῆρας, ἢ περὶ σπουδαιοτέρων πραγμάτων ἔχω τι λέγειν ἢ τούτων." Οὐχ ἧττον die Wahrheit ist, ὡς ὀρθόταθ' ὁ Blass παρατηρεῖ, dass er niemals in allen seinen Schriften sich dazu die Gelegenheit genommen hat, indem er stets, wie es im Panathenaikos weiter heisst, etwas wichtigeres zu behandeln hatte. (Att. Bereds. II, 47).

2) Ὁμ. Δ, 249.

469, 22. καὶ Ὅμηρος οὐχ ἁπλῶς ποιμένας λαῶν λέγει τοὺς βασιλέας.

472, 25. Πᾶσα γὰρ δήπου βουλὴ — κἂν ἐκ βαθείας ἥκῃ φρενός[1] . . . ;

517, 1. τὸν περὶ ψυχῆς ἑκάστοτε θέοντες[2].

6. ἀπέχεσθαι — παντάπασι καὶ μισεῖν ὁμῶς αἴδαο πύλῃσι[3].

14. ἡ δὲ (δικαιοσύνη) — οἷά τ' ἐστὶ καὶ ἐκ πυρὸς — αἰθομένοιο — εὐχερῶς ἀφαρπάζειν[4].

Οὕτω λέγει καὶ Ἰσ.

IX, 62. Φοινίκην δ' ἐπόρθησε.

63. τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν . . . .

X, 37. ἴχνος τῆς ἐκείνου πραότητος.

52. Τοσοῦτος δ' ἔρως ἐνέπεσε τῶν πόνων. . . .

55. τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγγίγνεται.

61. κατεχομένους ὑπὸ τῆς πεπρωμένης.

XI, 4. Αἰσθόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον.

12. ἀθανάτῳ — τείχει τῷ Νείλῳ τετειχισμένην (Αἴγυπτον).

13. τῶν μὲν γὰρ ὄμβρων καὶ τῶν αὐχμῶν — ὁ Ζεὺς ταμίας ἐστί.

XIV, 31. καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον, ὥσπερ τὸ Κρισαῖον πεδίον.

Ἔτι δὲ καὶ τὰ ἑπόμενα τῶν ποιητῶν χωρία ἐν τοῖς λόγοις αὐτοῦ Θ. παρέλαβε.

456, 36. εἰ μὴ πάρεστιν αὕτη (ἡ δικαιοσύνη), τά γ' ἄλλα ἐπ' ἀσθενοῦς ῥώμης ὀχεῖσθαι· ταῦτα κατ' Εὐριπίδην συμβαίνει[5].

464, 19. ἀλλὰ καὶ πατέρα κατὰ τὸ ἔπος ὡς ἤπιον (τιμῶντες)[6].

---

1) Ὅμ Τ, 125.
2) „ Χ, 161.
3) „ Ι, 312. — ξ, 156.
4) Πίνδ Ὀ. 1, 1.
5) Ἡρ. μαιν. 230.
6) Ὅμ. Β, 47.

465, 40. *νῦν δὲ σπεύδοντας καὶ αὐτοὺς κατὰ τὸ ἔπος ὀτρύνοντα*[1]).

468, 10. *καὶ οἷον* (*βασιλέως*) *πάντων μὲν ἐν ἅπασι κρατέειν ἐθέλειν, πάντεσσι δ' ἀνάσσειν*[2]).

469, 57.

Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ,
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δ' αὖ μήθ' αὐτῷ νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήιος ἀνήρ[3]).

473, 27. *οὕτως οὐδὲν κρεῖσσον κατ' Εὐριπίδην ἢ φίλος σαφής, οὐ πλοῦτος, οὐ τυραννίς*[4]).

476, 27. *οὐ μόνον ὅτι κατὰ τὸ ἔπος γλώσσης θησαυρὸς ἐν ἀνθρώποις ἄριστος, φειδωλῆς πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης*[5]) ....

39. *ἐπειδήπερ ἀγαθοῦ βασιλέως οὐ μόνον οὐδὲν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον εἶναι δεῖ, ὅ, τι κεν κεφαλῇ κατανεύσῃ*[6]) ....

488, 42. *καὶ οἷόν τινα θείαν περιχέων κατὰ τὸ ἔπος ὀμφήν*[7]).

492, 56. *καὶ τοὺς αὐτούς, ὡς Ὅμηρος λέγει, μύθων τε ῥητῆρας ἔμμεναι πρηκτῆράς τ' ἔργων. Τὸ αὐτὸ καὶ ἐν* 541, 43[8]).

493, 32. *πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει κατὰ τὸν παῖδα σοφίας*[9]).

500, 53. *Χωρὶς δὲ τούτου, σμικροὶ μεγάλων χωρὶς κατὰ Σοφοκλέα σφαλερὸν πύργου ῥῦμα πέλονται· μετὰ γὰρ*

---

1) Ὁμ. Θ, 293.
2) „ Α, 288.
3) Ἡσ. ἔργ. 291.
4) Ὀρ. 1157.
5) Ἡσ. ἔργ. 720.
6) Ὁμ. Α, 526.
7) „ Β, 41.
8) Ι, 443.
9) Σοφ. Αἴ. 157

μεγάλων βαιὸς ἄριστ᾽ ἂν καὶ μέγας ὀρθοῖθ᾽ ὑπὸ σμικροτέρων[1]).

509, 57. *ξυνὸς γὰρ Ἐνυάλιος*[2]).

513, 43. *οὐδ᾽ οἱ πλατεῖς, φασίν, οὐδ᾽ εὐρύνωτοι φῶτες ἀσφαλέστατοι*[3]).

528, 8. *Εἰ γὰρ ἐν τῷδε κατ᾽ Εὐριπίδην αἱ πολλαὶ κάμνουσι πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον*[4]). . . .

Οὕτω καὶ ἐν 449, 11. — 492, 24. — 533, 26. 47. — 541, 40. *Ἐν δὲ* 541, 1. *τοῦ ἐπιγράμματος ἐκείνου μνημονεύει, οὗ μνείαν ἤδη ἐποιησάμεθα*[5]).

Οὐ μὴν ἀλλὰ καὶ τῶν περὶ τοὺς λόγους Θ. οὐκ ὀλίγα ἀπώνητο.

457, 37. *τό τε γὰρ ἄπραγμον οὐ σῴζεται, φασὶν οἱ σοφοί, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον*[6]).

468, 42. *ὁ μὲν (Περικλῆς) οὕτω χρημάτων διαφανῶς, ὡς Θουκυδίδης φησίν, ἀδωρότατος γεγονώς*[7]) . . . .

Οὕτω καὶ ἐν 473, 52. *Νικομάχου.* — 477, 21. — 480, 9. *Δημοσθένους.* — 496, 33. — 508, 50. — 509, 24. 33. — 541, 35. *Πλάτωνος.*

Καὶ Θωμ. μὲν οὕτω. Καὶ Ἰσ. δέ, εἰ καί, ὡς αὐτὸς ὁμολογεῖ[8]), *καινότερ᾽ ἀείποτ᾽ ἐνθυμήματα θηρεύων οὔποτε τῶν αὐτῶν τοῖς ἄλλοις χρῆσιν ἐποιεῖτο, τῶν δ᾽ ἀλλοτρίων πάμπαν ἀπείχετο, οὐδὲν μέντοι ἧττον καὶ οὗτος καὶ παρὰ συγγραφέων* wenigstens kleines, *ὡς λέγει ὁ* Blass[9]), gern genommen hat, *καὶ παρὰ ποιητῶν καὶ δὴ Θεόγνιδος καὶ τῶν ἄλλων γνωμικῶν ὡσαύτως*[10]), *ὡς αὐτὸς οὗτος ἱκανῶς γ᾽, οἶμαι, τοῦθ᾽ ὁμολογεῖ, μεγίστην ἀξίαν ταῖς ὑποθήκαις τούτων ἑκάστοτ᾽ ἀπονέμων καὶ συχνάκις τούτων μνείαν ποιούμενος. Οὕτως ἐν* II, 43·

---

1) *Αἴ.* 158.
2) *Ὁμ. Σ,* 309.
3) *Σοφ. Αἴ.* 1250.
4) *Ἑκ.* 306.
5) *Ἴδε σελ.* 40.
6) *Θουκ.* 2, 63.
7) 2,65.
8) XIII, 12. — X, 13. — V, 94.
9) Att. Bereds. II, 113. *καὶ σημ.* 3., *ἔνθα περὶ τῶν διαφόρων Ἰσ. μιμήσεων καὶ ἄλλων τοιούτων λόγος γίγνεται.*
10) *Περὶ ἔπους, τραγῳδίας καὶ κωμῳδίας ἴδε Ἰσ.* II, 48. 44.

"σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου[1]) καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους γεγενῆσθαι συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς ἐκείνων ὑποθήκαις[2])."

Νῦν δ' οὐκ ἄσκοπον οὐδέ γε περιττὸν τὸ παράπαν ἡγούμεθα καὶ παροιμιῶν τινων μνημονεῦσαι, ἃς παρὰ Θωμ. εὑρίσκομεν.

456, 55. ὡς τὸ λεγόμενον δὴ τοῦτο, ἅμ' ἔπος ἅμ' ἔργον εἶναι.

457, 6. καὶ μὴ τὴν σφῶν αὐτῶν μισοῦντας ψυχὴν τῷ τὴν ἀδικίαν, ὡς λόγος, φιλεῖν.

473, 5. καὶ πάνθ' ὑπ' εὐνοίας, ὡς λόγος, φέρειν παρεσκευάσθαι.

496, 4. εἴπερ ἐστίν, ὡς λόγος, καὶ ὑπ' ἐχθρῶν ὠφελεῖσθαι.

517, 3. μηδένα βιάζεσθαι μηδὲ διασείειν, ὡς λόγος.

504, 43. κοινὰ δὲ τὰ τῶν φίλων ἡ παροιμία νομοθετεῖ.

Πρὸς δὲ καὶ ἐν

480, 56. καὶ μηδειστισοῦν ἄνθρακας εὕρῃ τοὺς θησαυρούς.

513, 18. τί ποταμῶν ἄνω[3]);

517, 1. τῶν πραγμάτων ἐπὶ ξυροῦ καθεστώτων.

521, 56. ὑπέρου γυμνότεροι[4]).

4.

Ἐν τῇ Τέχνῃ (ἀποσπ. 12.) φέρεται τάδε· "δεῖ δ' ἐν μὲν τῇ λέξει τὰ φωνήεντα μὴ συμπίπτειν· χωλὸν γὰρ τὸ τοιόνδε," ὡς καὶ παρὰ Κικέρ. (Orat. 151.)· in quo quidam Theopompum etiam reprehendunt, quod eas litteras (vocales) tanto opere fugerit, etsi idem magister ejus Isocrates "Ὥσπερ οὖν Ἰσοκρ., Πλάτων, Ἀριστοτέλης, Δημοσθένης, Πολύβιος, Πλούταρχος καὶ λοιποὶ τὰς παραλλήλους τῶν φωνηέντων θέσεις, ἅτε λυούσας τὰς ἁρμονίας τῶν ἤχων καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας καὶ διασπώσας,

---

1) Τὰς "Χείρωνος ὑποθήκας" νοεῖ, αἵτινες ψευδῶς Ἡσιόδῳ ἀποδίδονται. Ἴδε Christ, Litteraturgeschichte § 65.

2) Ἔτι δ' ἐν I, 51. — II, 13. 42. 44.

3) Οὕτω καὶ ἐν 529, 29. — 545, 15.

4) Ὡσαύτως ἐν 540, 1.

παντὶ σθένει κατὰ τὸ δυνατὸν ἀπέφευγον[1]), οὕτω καὶ ὁ ἡμέτερος Μάγιστρος. Ὥσπερ δὲ πάλιν πάντων τούτων Ἰσοκρ. μάλιστα πολλά, οἷα τὰ "εὖ οἶδα, πολλοῦ ἄν, δοκεῖ ἄν, ὃ ἄν, ὅσῳ ἄν κ. τ. λ.," ἄκων, οἶμαι, καὶ μὴ βουλόμενος ἠνέσχετο[2]), οὕτω καὶ ὁ μιμητὴς καὶ ἀκόλουθος τούτου Θωμ., παρ' ᾧ πρὸς τοῖς ἄλλοις καὶ "καίτοι εἰ" συχνότατα καὶ ἄλλα τοιαῦτα εἴρηται[3]). Ταῦτα τοίνυν, ἀποφυγὴ φημὶ τῆς τῶν φωνηέντων ἐπαλληλίας καὶ λέξις ἡδεῖα καὶ καλή, ὧνπερ ἀμφότεροι ἐξ ἴσης στοχάζονται, ἐστὶ τὸ αἴτιον τὰ πολλὰ τῆς τοσαύτης καὶ τηλικαύτης τῶν ὀνομάτων ἐκλογῆς καὶ τῆς ἐπιμεμελημένης καὶ ἐπιτετηδευμένης τούτων συναρμογῆς καὶ συμπλοκῆς· ὡς δὲ ταῦθ' οὕτως ἔχει, ἱκανὰ τὰ ἐχόμενα τεκμηριῶσαί πως.

Α'.

Τὰ οὐσιαστικὰ μυριάκις τῶν ἐπιθέτων αὐτῶν κεχώρισται, ὃ δὴ εἰς τὰς ἀντωνυμίας "οὗτος, ὅσος" καὶ τὸ ἐπίθετον "πολὺς" ἔστι τὸ πλεῖστον ἰδεῖν.

Ἰσ. IV, 3. ἀλλ' ἱκανὸν νομίσας ἆθλον.

26. ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν.

33. ὅσης προσήκει τιμῆς.

VII, 84. τῶν κακῶν ἡμᾶς τούτων ἀπαλλαγήσεσθαι. — καὶ τοὺς λόγους εἴρηκα τούτους. — πάντα λογισάμενοι ταῦτα[4]).

IX, 8. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην.

10. ἃ τοσαύτην ἔχει χάριν.

Οὕτω καὶ ἐν IV, 45. 89. — VII, 83. — IX, 9. καὶ ἀλλαχοῦ πολλάκις.

---

1) Πρβλ. Διονύσ. Ἰσ. 2. — Δημοσθ. 40. — περὶ Συνθέσ. σ. 167. — Ὁ Blass (ἔ. ἀν. 140.) λέγει· Man kann sagen, dass auf der höchsten Entwickelungsstufe der attischen Prosa und dazu in der hellenistischen bis zum Atticismus, welcher zum Theil wieder auf die älteren attischen Muster zurückging, der Hiatus allgemein als etwas Entstellendes und daher möglichst zu Vermeidendes angesehen wurde.

2) Ἴδε XIII, 13. 19. 21. — IV, 187. — XIX 44. — XVII, 44. κ. τ. λ.

3) Ἴδε 484, 44. — 492, 32. — 493, 30. — 496, 31. 40. καὶ ἀλλαχοῦ.

4) Vulg. "ταῦτα π. λογισάμενοι."

Θωμ. 473, 39. *μετὰ μείζονος ἀμύνεσθαι τῆς παρασκευῆς.*

481, 47. *καὶ ναυαγίας πειρωμένους ἀτόπου.*

484, 50. *καὶ τοῦτον παρεσκευασμένας τὸν τρόπον.*

489, 14. *ἐν τῇ κοινῇ ταύτῃ φέρεται φύσει.*

50. *ταύτην εἰσόμεθα δικαίως τὴν χάριν.*

492, 12. *τοσαύτην ὑπὲρ αὐτῶν εἰσφέρειν σπουδήν.*

36. *καὶ ξυμπάσης, ὡς εἰπεῖν, ἀγῶνα σοφίας.*

497, 12. *τοῦτον — διανῦσαι τὸν ἆθλον.*

42. *τοσαύτην — ἴσμεν διαφοράν.*

501, 25. *τὸν ἅπαντα βιώσονται χρόνον.*

27. *καὶ πᾶσαν παρελαύνοντα προσδοκίαν.*

44. *πλείστης ὅσης ὑπὸ τῶν εὐπόρων ἀξιοῦσθαι προνοίας.*

505, 6. *τῆς γιγνομένης ἀξιοῦντες προνοίας.*

23. *τῆς θαυμαστῆς ἐξέστημεν ὑποθέσεως.*

25. *τὰς ἐπιστολὰς παριδόντες τὰς θείας.*

508, 9. *πλεῖστον ἀποφερόμενοι κέρδος.*

509, 45. *μετὰ τοσαύτης ἀνθίστασθαι τῆς παρασκευῆς.*

516, 28. *πᾶσαν ὑπερβαίνοντα τραγῳδίαν.*

32. *ἐσχάτῃ περιπεσεῖν συμφορᾷ.*

Οὕτω καὶ ἐν 473, 36. — 501, 21. — 504, 16. — 505, 12. — 516, 51. — 521, 37. — 524, 21. 58. — 528, 23. — 529, 33. — 532, 2. 39. — 536, 53. — 537, 14. — 540, 58. *καὶ ἀλλαχοῦ.*

Β'.

Σύνηθες τὰς λέξεις "εἰ, ἐάν, εὖ, λίαν, κ. τ. λ." τῶν σφετέρων αὐτῶν ὀνομάτων καὶ προτάσεων προτάσσεσθαι, οὐ σπάνιον ὅμως καὶ τούτοις ἀκολουθεῖν, ὡς τοῦτο τοῖς ἑπομένοις δῆλον.

Ἰσ. V, 9. *ταύτας εἰ παρὰ τῶν βαρβάρων ποιήσασθαι βουληθεῖεν.* — VI, 42. *τοὺς μὲν οὖν παλαιοὺς κινδύνους εἰ διεξιοίην.* — 47. *ἐπεὶ καὶ τῶν περὶ Θήβας πραχθέντων εἰ μνησθεῖμεν.*

75. *καὶ ταῦτ' ἐὰν τολμήσωμεν.* — III, 63. *Καὶ ταῦτ' ἂν ποιῆτε.*

IV, 80. *ποιεῖν εὖ.* — XV, 244. *φρονεῖν εὖ.*

IV, 160. *πολλὰ λίαν.*

Οὕτω καὶ Θωμ.

460, 34. *θατέρου μὲν εἴπερ οὐκ ἦσθα κύριος.*

497, 50. *πράττειν εὖ* [1]). — 513, 45. *φρονοῦντες εὖ.* — 51. *φρονῶν εὖ.* — 537, 51. *ποιεῖν εὖ.* — 501, 17. *πράσσειν καλῶς.*

477, 9. *πάσχειν κακῶς.* — 493, 45. *ἀκοῦσαι κακῶς.* — 500, 23. *ποιεῖν κακῶς.* — 532, 20. *ἀκούῃ κακῶς.*

468, 2. *φιλάνθρωπος ἄγαν.* — 473, 12. *ἐπιεικῶς μάλα.* — 476, 23. *μετρίους ἄγαν.* — 537, 55. *γενναίως εὖ μάλα.*

Γ'.

Isocrates de sese locutus, *λέγει* Benseler [2]), modo singulari modo plurali numero est usus.

III, 27. *Ὡς δὲ προσηκόντως τὴν ἀρχὴν ἡμεῖς (λέγει Νικ. περὶ ἑαυτοῦ) ἔχομεν.*

28. *Τεῦκρος — ὁ τοῦ γένους ἡμῶν ἀρχηγός.*

XII, 15. *Ἀλλ' ὅμως οὕτω πολὺ τῇ διανοίᾳ διεστώτων ἡμῶν καὶ τοσούτῳ σπουδαιοτέραν ἐμοῦ πεποιημένου τὴν αἵρεσιν οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπειλήφασιν ἀλλὰ ταραχωδῶς καὶ παντάπασιν ἀλογίστως.*

16. *τοῖς τε λόγοις παραδείγμασι χρώμενοι τοῖς ἐμοῖς καὶ ζῶντες ἐντεῦθεν τοσούτου δέουσι χάριν ἔχειν τούτων, ὥστ' οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν, ἀλλ' ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν.*

Οὕτω καὶ ἐν I, 2. 51. — III, 58. 61. — XII, 17. 19. — XV, 51. 158. 164. *καὶ ἀλλαχοῦ, καθάπερ καὶ* Θωμ. *λέγει·*

457, 58. *σὲ δ' εἶναι πολεμικὸν ἡμεῖς ἀξιοῦμεν.*

465, 46 *Χρημάτων δὲ πέρι πῶς ἂν ἔχειν χρῆναί σε φῶμεν; — τοῖς τ' ἄλλοις καὶ τοῖς παροῦσι λέγω κ. τ. λ.*

488, 18. *καὶ οἵαν ἡμεῖς ὑπεθέμεθα.*

---

1) *Οὕτω καὶ ἐν* 525, 50.

2) *Ἐν τῇ ἐκδόσει Ἰσοκρ. σ.* VIII, *σημ.* 2

497, 40. *καλῶς ἂν εἶχε πρὸς ἐκεῖνον μόνον εἰπόντας μηδὲν προσπεριεργάζεσθαι· εἰ δὲ τοσαύτην τούτων ἴσμεν διαφοράν, — ἡμεῖς τ' οὐχ ὑπὲρ μόνου τοῦ κρατοῦντος ἀλλ' ὑπὲρ τῆς ἀρχῆς λέγειν προὐθέμεθα κ. τ. λ.*

501, 34. *Ὥσπερ δὲ τὴν πόλιν πᾶσαν εἰς ἐπιφανεῖς τε καὶ πολλοὺς διαιροῦντες οὐκ ἀξιοῦμεν κ. τ. λ., οὕτω ταύτῃ γε πάλιν πολλοῦ τινος ἄξιον εἶναί φαμεν κ. τ. λ.*

Δ'.

Ἔτι δ' ἐν τῇ Τέχνῃ (ἀποσπ. 12.) *καὶ ταῦτ' ἀναγιγνώσκομεν·* "*δεῖ δ' ἐν τῇ μὲν λέξει τὰ φωνήεντα μὴ συμπίπτειν, χωλὸν γὰρ τὸ τοιόνδε, μηδὲ τελευτᾶν καὶ ἄρχεσθαι ἀπὸ τῆς αὐτῆς συλλαβῆς.*" *Εἰκότως· ὅτι γὰρ ταῦτα ψυχρά τε καὶ ἀηδῆ τὰ πολλὰ γίγνεται ταῖς ἀκοαῖς προσιστάμενα, οὐδείς, οἶμαι, ὅστις οὐχ ὁμολογεῖ. Οὐχ ἧττον καὶ τῶν τοιούτων ἱκανὰ καὶ δὴ ἐν τοῖς διαφόροις τοῦ ἄρθρου τύποις παρ' Ἰσοκρ. εὕρηται ὥσπερ καὶ παρὰ Θωμ., ὅς γ' οὐδὲ μικρὸν αὐτοῦ καὶ κατὰ τοῦτο λείπεται.*

Ἰσ. V, 78. *οὐκ ἂν ἀντειπεῖν.* — VI, 85. *ἀνορθώσομεν μέν.* — XV, 311. *ἐπαινοῦμεν μέν.* — XVII, 22. *πρὸς μὲν Μενέξενον.*

IX, 10. *αὐτὰς τάς.* — 11. *ποιημάτων τῶν.* — 18. 50. *τούτοις τοῖς.* — 29. *πάντων τῶν.* — 38. *ἀρετὴν τήν.*

Θωμ. 484, 45. — 493, 21. — 529, 31. *πάντων τῶν.*

488, 20. — 532, 18. *τούτῳ τῷ.*

489, 54. *τεθέντων τῶν.*

508, 40. *ξυμπάντων τῶν.*

516, 2. *τοῦτο τό.*

521, 15. — 540, 33. *τὰ τακτικά.*

521, 28. — 489, 45. — 492, 37. — 494, 24. *πάντα τά.*

525, 52. *τούτου τοῦ.*

532, 27. *τούτοις τοῖς.*

541, 51. *αὐτοῦ τούτου.*

516, 45. *κυρίους οὕς.*

5.

Συνώνυμα, οἷα τὰ "*ἐπαινεῖν καὶ τιμᾶν, θαυμάζειν καὶ ζηλοῦν, μακαρίζειν καὶ ζηλοῦν, ἀγαπᾶν καὶ τιμᾶν καὶ*

θεραπεύειν, εὐδαιμονέστερος ἢ θαυμαστότερος ἢ ζηλωτότερος, σκοπεῖν καὶ φιλοσοφεῖν, ζητεῖν καὶ φιλοσοφεῖν, μελετᾶν καὶ φιλοσοφεῖν, φιλοσοφήσετε καὶ σκέψεσθε" καὶ τὰ τοιαῦτα, συχνότατα παρ' Ἰσοκρ., ἐν τῇ χρήσει ὅμως τούτων in seiner guten Zeit, *ὡς λέγει ὁ* Blass[1]), durchaus maassvoll und sparsam *ἐστί. Τοιούτων καὶ Θωμ. χρῆσιν πολλαχοῦ τῶν αὐτοῦ λόγων ποιεῖται.*

456, 38. *ἀσφαλεῖς καὶ βεβαίας.*

457, 42. *Τὸν γὰρ μάχεσθαι μεμελετηκότα καὶ πολεμεῖν ἠσκημένον.*

461, 24. *ἐκπλήττειν τε καὶ φοβεῖν.*

472, 42. *στέργειν τε καὶ φιλεῖν*[2]).

49. *μετὰ τοῦ λελογισμένου καὶ σώφρονος.*

473, 38. *καὶ πολεμεῖν καὶ μάχεσθαι.*

480, 12. *τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις.*

484, 9. *φροντίδος καὶ προμηθείας.*

496, 6. *σώφρονας καὶ κοσμίους.*

500, 30. *ἀπεχθάνεσθαι καὶ μισεῖν.*

36. *ἀντέχεσθαι καὶ φροντίζειν.*

504, 6. *συμπονεῖν καὶ συναλγεῖν καὶ συνάχθεσθαι*[3]).

505, 8. *ὠμοὶ καὶ ἀπηνεῖς.*

45. *ἑταῖρος καὶ φίλος.*

508, 36. *ἀποστρέφεσθαι καὶ μισεῖν.*

512, 26. *πάσχουσι καὶ ταλαιπωροῦνται.*

513, 20. *κρατοῖεν καὶ περιγίγνοιντο τῶν ἐχθρῶν.*

29. *ἐπαρᾶσθαι καὶ κατεύχεσθαι.*

520, 39. *ζημία καὶ βλάβος.*

521, 10. *ἐρρωμενέστατα καὶ στεγανώτατα καὶ ἀσφαλέστατα.*

524, 48. *ὀτρύνοντας καὶ διακελευομένους.*

54. *κατάπληξις καὶ φόβος.*

528, 41. *βελτίστους καὶ κρατίστους.*

529, 23. *ζήλου καὶ θαύματος.*

---

1) *Ἔ. ἀν.* 138.

2) *Ἐν* 528, 12. "*στέργηται καὶ φιλῆται.* — 537, 33. *φιλεῖν καὶ στέργειν.*"

3) *Ἐν* 536, 20. "*συνάχθεσθαι καὶ συναλγεῖν.*"

24. *ψόγου καὶ κατηγορίας.*
41. *κηδεμὼν καὶ προστάτης.*
532, 44. *ἐπιεικως καὶ μετρίως.*
533, 13. *φέρεσθαι καὶ χωρεῖν.*
540, 11. *ξυμπονεῖν καὶ ξυμπράττειν.*
541, 26. *ἐνέχεσθαι καὶ παραμένειν.*

6.

Ἰσοκράτης, ἅτε clarissimus Gorgiae auditorum *γενόμενος*[1], *κεκόσμηκε τοὺς λόγους αὐτοῦ καὶ τοῖς διαφόροις σχήμασιν, ἀντιθέσεσι, φημί, παρισώσεσι καὶ τοῖς ἄλλ ις τοιούτοις*[2]), *οἷς κατακόρως καὶ ἐν οὐ δέοντι πολλάκις*[3]) *ἐν πᾶσι καὶ δὴ τοῖς νεωτέροις τῶν ἔργων αὐτοῦ κέχρηται*[4]), *ὡς αὐτὸς οὗτος τοῖθ' ὁμολογεῖ, ὅθεν καὶ τὸ αἴτιον τῆς πολλῆς τούτων χρήσεως μανθάνομεν.* "*Νεώτερος μὲν ὤν,*" *λέγει ἐν τῷ* **Παναθηναϊκῷ**[5]), "*περὶ ἐκείνους ἐπραγματευόμην τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας, καὶ πολλῶν μὲν ἐνθυμημάτων γέμοντας, οὐκ ὀλίγων δ' ἀντιθέσεων καὶ παρισώσεων καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν· νῦν δ' οὐδ' ὁπωσοῦν τοὺς τοιού-*

---

1) Quintil. III, 1. 13.

2) *Ἰσ. πάμπαν τὴν λέξιν* "*σχῆμα*" *ἀγνοῶν τῇ γενικωτέρᾳ* "*ἰδέαι*" *χρῆται. Πρβλ.* XII, 2. — XV, 47.

3) *Τούτου ἕνεκα καὶ τὸν χόλον Διονυσ. ἐκίνησε λέγοντος ἐν Ἰσ.* 13. "*καὶ τῶν σχημάτων τὸ μειρακιῶδες περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις κατατριβόμενον· καὶ οὐ μέμφομαι τὸ γένος τῶν σχημάτων — ἀλλὰ τὸν πλεονασμόν.*" *Πρβλ. καὶ αὐτόθ* 2.

4) *Ἡ γὰρ χρῆσις τῶν σχημάτων καὶ ἡ τῶν ὀνομάτων ἐκλογὴ καὶ ἡ τῶν κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὰ καταναλῶσαι χρόνον, οὗπερ ἐν τοῖς τελευταίοις τῶν λόγων αὐτοῦ στερούμενος ἢ καὶ πολιὰς τότε δὴ ἔχων οὐχ οἷός τ' ἐγένετο τούτοις ἅπασι χρήσασθαι.* **Πρβλ. Διον. Ἰσ.** 14. "*οἱ μέντοι γ' ἐπὶ τελευτῇ τοῦ βίου γραφέντες λόγοι ἧττόν εἰσι μειρακιώδεις, ὡς ἄν, οἶμαι, τελείαν ἀπειληφότες τὴν φρόνησιν παρὰ τοῦ χρόνου.*" — **Κικέφ.** Orat. 176.

5) § 2.

τους [1])." Τούτων τοίνυν τινῶν μόνον μνημονεύων ἐνταῦθα, ὧν καὶ Θωμ. ἀνθίσαι βουλόμενος τὴν λέξιν διαφερόντως χρῆσιν ἐποιήσατο, περὶ τῶν λοιπῶν, περίεργον γάρ, οὐδὲν δέομαι γράφειν.

Α΄. Παρονομασία.

Ταύτης πολλὴν ἰδίᾳ χρῆσιν Γοργίας ἐποιήσατο, οἱ περὶ δ' Ἰσοκρ. ἀνάξιον σπουδαίου ῥήτορος ἡγούμενοι ἐμετρίασαν μὲν πρὸς ταύτην, οὐδαμῶς ὅμως καὶ πάμπαν ἀποφυγεῖν ἠδυνήθησαν.

α΄.

Ἰσ. I, 31. τὰς χάριτας ἀχαρίστως χαριζόμενος. — IX, 50. προχείρως ἐπιχειρῶ. — XII, 48. ἄλλους ἀλλοτρίως. — XV, 136. συλλόγοις λογοποιεῖν. — XVIII, 31. πόλεμον πολλαὶ πόλεις.

Θωμ. 453, 9. μηδὲν μηδοτιοῦν.
469, 42. πάντων ἅπαντα.
484, 21. ἑνὸς μηδενός.
24. ἀβίωτον βιωσαίμεθα βίον.
485, 4. μηδένα μηδοπωστιοῦν.
492, 11. ὀφείλων ὄφελος.
47. ἁπάντων πάντων [2]).
493, 14. παντάπασι πάντων [3]).
497, 34. ἄρχειν ἀρχομένων.
508, 11. εἰσφορεῖν εἰσφέρειν.
513, 25. πολιορκίᾳ πόλεως.
517, 15. δυσχεροῦς εὐχερῶς.
540, 18. ἐχρῆν χρῶνται.
544, 26. ἀφορμῶν ὁρμωμένους.

β΄.

Οὐκ ὀρθῶς ὁ Blass διατείνεται οὐ δι' ἔθους Ἰσοκρ. εἶναι καὶ τοιαύτῃ παρονομασίᾳ, οἵα ἡ "πολλοὶ πολλῶν", χρῆσθαι, ἥνγε σπα-

---

1) Πρβλ. καὶ V, 27.

2) Οὕτω καὶ ἐν 485, 51. Ἐν δὲ 533, 20. "ἅπαντας πάντες. — 537, 4. ἁπάντων πασῶν."

3) Ἐν 500, 41. "πάντων παντάπασι."

νιώτερον μὲν τῶν λοιπῶν αὐτῆς εἰδῶν ἐν τοῖς λόγοις ἀμφοτέρων εὑρίσκομεν, εὑρίσκομεν δ' ὅμως [1]).

Ἰσ. III, 15. *ἕτερος ἑτέρου.* — XV, 217. *πάντας πάντα.* — XIX, 24. *ἕτερος ἕτερον.*

Θωμ. 453, 34. *πᾶσι πάντα.* — 480, 45. *ὑμεῖς ὑμῖν.* — 488, 14. *πάντων πάντων.* — 504, 23. *αἰῶνας αἰώνων.* — 513, 17. *ταὐτὸν αὐτοῖς.* — 516, 2. *τοῦτον τοῦτο.* — 528, 39. *ἑτέρους ἕτεροι.*

γ΄.

Ἑτεροῖόν τι τοῦ ἀνωτέρω τόδε τὸ εἶδος, οὗ παραδείγματα παρ' ἀμφοτέροις εὕρηται.

Ἰσ. III, 44. *τούτων ἕνεκα καὶ ταῦτα διανοηθείς.*

45. *τοὺς πλείστους ἂν εὕροιμεν πλεῖστα* [2]) — *ἐξαμαρτάνοντας.*

VI, 24. *παρὰ τῶν αὐτῶν καὶ τὸν αὐτὸν τρόπον.*

25. *τὰ — αὐτὰ δικαιώματα καὶ τοὺς αὐτοὺς λόγους.*

VII, 74. *πολλάκις ἤδη καὶ πρὸς πολλούς.*

XII, 198. *ἐπὶ πᾶσι καὶ πάντας.*

Θωμ. 448, 18. *ταὐτὰ τοῖς ἄλλοις καὶ περὶ τῶν αὐτῶν.*

453, 44. *πρὸς πάντας καὶ κατὰ πάντα.*

456, 53. *πᾶσι — καὶ κατὰ πάντα χρόνον.*

477, 27. *ἅπαντας εὖ ποιεῖν τὸν ἅπαντα χρόνον.*

485, 19. *νόμων μηδενὸς ἧττω νόμον.*

48. *πᾶσαν ἐκ τοῦ παντός.*

486, 6. *ὄντων ᾖ ὄντα.*

46. *καὶ πάντα — ἅπαντες.*

492, 8. *καὶ πάντες ἂν πάντως.*

493, 14. *πάντων ἐν πᾶσι.*

---

1) *Ἐ. ἀν.* 177. Bei Isokrates kommt — nicht *πολλοὶ πολλῶν* vor noch anderes dergleichen, was sich so leicht ergibt und sonstigen [Schriftstellern so geläufig ist; nur die Antidosis hat das kräftige *οὐδεὶς οὐδὲν* und anderswo *πάντας πάντα* (§ 87. *καὶ* 217.). *Ἐν δὲ τῇ* 3. *ὑποσημειώσει λέγει*: Der Demonikos (§ 19.)' hat auch *πολλὰ πολλῶν.*

2) *Ἡ* Vulg. *ἔχει* "*μάλιστα.*"

24. *μηδένα παρὰ μηδενός.*

496, 24. *πάντα τὰ πάντων — πάντων ἐν ἅπασι.*

497, 54. *σὺν αὐτῇ τε καὶ μετ' αὐτῆς.*

501, 35. *ἑκατέροις παρ' ἑκατέρων.*

504, 52. *τῇ τύχῃ δὲ καὶ τῇ τῆς τύχης.*

505, 30. *τῇ γῇ τε καὶ ταῖς τῆς γῆς.*

51. *τὸ μέλλον καὶ τὴν τοῦ μέλλοντος.*

508, 49. *πᾶσι καὶ διὰ πάντων*[1]).

δ'.

Ἰσ. I, 31. *τὰς χάριτας — χαριζόμενος.* — XV, 6. *τὸν βίον, ὃν ζῶ.* — 44. *τοὺς λόγους, οὓς λέγω.* — 108. *εἰσφορὰς — εἰσενεγκεῖν.* — 156. *εἰσφορὰν εἰσενεγκεῖν.* — XIX, 36. *τὰς λειτουργίας ἐλειτούργησαν.*

Θωμ. 452, 3. *τὴν καλλίστην καὶ τελεωτάτην — ἄρχων ἀρχήν.*

52. *εὐγνώμονος ἀνδρὸς ἔργον ἐργάζῃ.*

456, 18. *τὴν τῆς οἰκουμένης πολιτείαν πολιτευόμενος.*

465, 54 *βίον ζῆν.*

468, 53. *χρήμασι — κεχρῆσθαι.*

476, 36. *καὶ τὰς ἐπαγγελίας, ἃς οὐκ ὀλιγάκις ἐπαγγέλλῃ.*

504, 59. *δουλεύοντες — δουλείαν αἰσχίστην.*

524, 9. *τίν' οὐκ ἂν τούτους εἰκὸς τοιαύτην τόλμαν τολμῆσαι;*

ε'.

Θωμ. 453, 38. *σὺ δὲ καὶ τοῦτο μετὰ πολλοῦ τοῦ κρείττονος ἕξεις, ἀνθ' ὧν οὕτω σφίσι παρέχεις.*

457, 55. *μήτε ταύτης μετέχειν καὶ προσέτι πράγματ' ἔχειν ἐκ πολεμίων.*

461, 44. *οὐ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι.*

465, 21. *μηδ' οἷς ἀνθρώπων ἄρχειν δοκοῦσιν, αὐτῶν ὑπὸ λημμάτων καὶ οὐ καλῶν ἐπιθυμιῶν ἐλεεινῶς ἀρχομένων.*

---

1) *Πρβλ. καὶ σελ.* 79. *κε.*

39. *ὧν μὲν ἔχεσθαι χρή, ὧν δ' ἀπέχεσθαι*[1]).

58. *Εἰ μὲν οὖν χρημάτων οὕτω λόγον ποιῇ, οὐ μόνον ἀγαθῶν ἁπάντων ἀντιποιήσῃ, κ. τ. λ.*[2])

468, 38. *ἀλλ' οὕτως ἔχεσθαι τούτων, ὡς μὴ ἐνέχεσθαι.*

484, 7. *καὶ περὶ ὑμῶν ἂν αὐτῶν ἠνέγκατε ψῆφον, εἰ τοιοῦτον ὑμῖν συνηνέχθη.*

489, 18. *τοσοῦτο μᾶλλον ἀφίσταται μὲν τῶν ἀνθρώπων, μεθίσταται δὲ πρὸς Θεόν*[3]).

Οὕτω καὶ ἐν 452, 20. *ἔχειν — ὑπέχειν.*

456, 14. *δίδως — ἀποδίδως.* — 504, 39. *δόσις — ἀπόδοσις.*

469, 13. *ἑστῶσι — προσεξίστανται.*

472, 20. *ἔσται — προσέσται.*

501, 32. *ἐνδεῖν — δεῖ.*

504, 11. *ἔχοντες — καθέξομεν.* — 18. *καθέξομεν ἕξομεν.*

46. *λαμβάνουσιν — ἀπολαμβάνουσι.*

525, 2. *συνεύξαιντο — κατεύξαιντο.*

521, 41. *σῷσαι — σεσῷσθαι.*

34. *προήσεται — συμπροήσεται.*

532, 50. *ἐπιχαίρειν — χαίρειν.*

Β'. Παρόμοιον[4]).

Ἰσ. I, 44. *τὴν μὲν γὰρ τούτων χρείαν ῥαδίως εἰδήσεις, τὸν δὲ μετ' εὐνοίας συμβουλεύοντα χαλεπῶς εὑρήσεις.*

52. *ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ βέλτιστα λαμβάνουσαν.*

---

1) *Οὕτω καὶ ἐν* 476, 16. "*ἀπέχεσθαι μὲν καθάπαξ κακίας, ἔχεσθαι δ' ἀρετῆς.* — 504, 30. *ἀπέχοντες — ἔχουσι.* — 517, 6. *ἀπέχεσθαι — ἔχεσθαι.*"

2) *Ἐν* 532, 53. "*ἀντιποιεῖσθαι — ποιεῖσθαι.*"

3) *Ἐν* 449, 1. "*τούτων ὑμᾶς αὐτοὺς ἀφιστάναι καὶ μεθιστάναι πρὸς ἃ δεῖ.*"

4) *Ἴδε* Blass, *ἔ. ἀν.* 180.

IV, 1. *Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. — τοῖς δ' ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονήσασι καὶ τὰς αὑτῶν ψυχὰς οὕτω παρασκευάσασι — τούτοις δ' οὐδεμίαν τιμὴν ἀπένειμαν, ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλλον ποιήσασθαι πρόνοιαν.*

Θωμ. 457, 46. *οὐχ ὅπως ταύτης οὐδ' ὁπωστιοῦν ἀπολαύσῃ, ἀλλὰ καὶ πολεμίους τοσούτους διὰ ταύτην προσκτήσῃ.*

461, 29. *ἐφ' ἃ μὴ προσῆκε χωροῦντας, ἀλλ' ὅπερ εἰσὶν ἐννοοῦντας.*

468, 26. *τὸ μὲν ἐθελήσεις προέσθαι, τὸ δὲ καθάπαξ ἑλέσθαι.*

465, 18. *ἀπὸ μόνου νῦν τοῦ προσρήματος γιγνωσκόμενος, τηνικαῦτα δ' αὐτὸς ὁρώμενος.*

472, 46. *ἐπὶ μὲν τοῖς σοῖς ἀγαθοῖς ἡδομένους, ἐπὶ δὲ τοῖς οὐχ οὕτως ἔχουσιν ἀχθομένους, καὶ τὰ μὲν ἐπαινοῦντας, τοῖς δ' ἐλευθέρως ἐπιτιμῶντας, — τούτους καὶ φίλους πάντως ἡγεῖσθαι, καὶ ὡς ἑταιροτάτοις τὰ πλείστου φασὶν ἄξια χρῆσθαι.*

473, 50. *καὶ τούτοις κατὰ τοὺς νόμους συμπράττων, κἀκείνους μετὰ τῶν νόμων ἀνόμους ἐλέγχων.*

Οὕτω καὶ ἐν 476, 25. *ἀποχρῶντας — σῴζοντας.*
477, 5. *τιμᾶσθαι — ὑποκεῖσθαι.*
481, 6. *ἐπιτάττειν — πράττειν.*
484, 43. *εἶναι — ὑφιέναι.*
488, 35. *σφαλεράς —ἐπανισταμένας.*
53. *συντηρῶν — ἐπανάγων.*
57. *σῴζειν — χωρεῖν.*
493, 35. *ἴσχειν — ξυγχαίρειν.*
496, 26. *ἀφορώντων — καθιστάντων.*

Σπανιώτερον τοῦτ' ἐκ τριῶν ἢ τεττάρων λέξεων ἀποτελεῖται,

Ἰσ. IX, 44. *οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος.*

56. *Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' Ἕλληνες ἠλευθερώθησαν.*

Θωμ. 488, 47. *ἀλλὰ συνέχων καὶ ἄγχων καὶ πάντα τρόπον πρὸς ἀρετὴν ῥυθμίζων.*

492, 18. *λόγους μεταχειρίζειν καὶ βιβλίοις ἐγκύπτειν καὶ τἄλλα πράττειν,*

σπανιώτατον δ' ἁπάντων τὸ Ἰσοκρ.

IV, 122. *ὅτι τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον κατέστησαν ὡς ἐλευθερώσοντες τοὺς Ἕλληνας, ἐπὶ δὲ τελευτῆς οὕτω πολλοὺς αὐτῶν ἐκδότους ἐποίησαν, καὶ τῆς μὲν ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέστησαν, ἐξ ἧς ἀπῴκησαν καὶ δι' ἣν πολλάκις ἐσώθησαν, τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδοσαν.*

Γ'. Παρήχησις.

Ταύτης, ἣν Πλάτων μὲν "ἴσα λέγειν" καλεῖ[1], *Θεόφραστος δ' αὖ πάλιν τῷ παρομοίῳ περιλαμβάνει, μικράν τινα χρῆσιν ἀμφότεροι ἐποιήσαντο, ὅτου ἕνεκα καὶ ἡμεῖς δυοῖν καὶ μόνοιν αὐτῆς εἰδέοιν μνημονεύομεν.*

α'.

Ἰσ. IV, 47. *ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατεσκεύασε.* — X, 52. *ὅμως αὐτοὺς συνεξώρμησαν καὶ συνεξέπεμψαν*[2]).

Θωμ. 465, 36. *συνεισφέρειν καὶ συμφροντίζειν.*

504, 6. *τούτοις συμπονεῖν καὶ συναλγεῖν καὶ συνάχθεσθαι.*

536, 20. *συνάχθεσθαι καὶ συναλγεῖν.*

540, 11. *ξυμπονεῖν καὶ ξυμπράττειν.*

β'.

Ἰσ. IV, 176. *μηδεμίαν ἐᾶν ἡμέραν.* — VI, 94. *ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν.* — IX, 27. *τὰς παρούσας τύχας ταπεινοτέρας τὰς ψυχάς.*

---

1) *Συμπόσ.* 185 C. "*Παυσανίου δὲ παυσαμένου, διδάσκουσι γάρ με ἴσα λέγειν οὑτωσὶ οἱ σοφοί.*"

2) "*συνέπεμψαν*" *ΓΔ.*

Θωμ. 456, 18. μεγάλῳ δήμῳ τῷ βίῳ.
460, 28. ἑνός τινος σώματος.
472, 45. τοῖς σοῖς ἀγαθοῖς.
473, 17. φίλος ἄλλος αὐτός.
49. τῶν προσηκόντων δικαίων ἀποστερῶν.
480, 10. τῶν ἄλλων τῶν τοιούτων.
31. τοῦ περιτυχόντος δόντος.
488, 35. ἄλλας ἁπάσας ἡδονάς.
489, 37. πάντων τῶν ἄλλων ἀγαθῶν.
492, 7. ὄνησιν ὦσιν.
493, 5. τῶν ἄλλων ἁπάντων στρατηγῶν.
496, 7. σπουδαίους ἀσφαλεστέρους, ὑφορωμένους.
8. τὰ τοιαῦτα στόματα.
520, 41. πράττουσιν οὖσι.
524, 23. ἀριστίνδην πλουτίνδην.
525, 7. ἑκόντες ὄντες.

Οὕτω καὶ ἐν 464, 27. — 468, 11. — 485, 19. 37. 45. — 489, 45. *καὶ ἀλλαχοῦ μυριάκις.*

7.

Τῶν δ' ἄλλων σχημάτων, τῶν ῥητορικῶν καλουμένων, ἡ χρῆσις τὸ μὲν ὁμοία, τὸ δὲ καὶ διάφορός τι ἀμφοτέροις τυγχάνει.

Α'. Ἀναφορά.

Τὴν ἐπανάληψιν τῆς αὐτῆς λέξεως εἴτ' ἐν τῇ αὐτῇ εἴτε καὶ ἐν ἄλλῃ προτάσει ἄτεχνον πάνυ καὶ φορτικὸν Ἰσ. ἡγούμενος, καθάπερ καὶ Ἀριστοτέλης παρατηρεῖ[1]*, ἀποφεύγει κατὰ τὸ δυνατὸν καὶ τὴν τόσῳ τοῖς τε ποιηταῖς καὶ τοῖς περὶ τοὺς λόγους προσφιλῆ ἀναφοράν, εἰ καὶ πάμπαν αὐτὴν ἀποφυγεῖν οὐκ ἤνυσε.*

IV, 121. οὐ καὶ τοῦ πολέμου κύριος ἐγένετο καὶ τὴν εἰρήνην ἐπρυτάνευσε καὶ τῶν παρόντων πραγμάτων ἐπιστάτης καθέστηκεν; οὐχ ὡς ἐκεῖνον πλέομεν ὥσπερ πρὸς δεσπότην ἀλλήλων κατηγορήσοντες; οὐ βασιλέα τὸν μέγαν

---

1) Ῥητορ. III, 12. „τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται, ἐν δὲ τῇ ἀγωνιστικῇ οὔ — — ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας.“

αὐτὸν προσαγορεύομεν ὥσπερ αἰχμάλωτοι γεγονότες; οὐκ ἐν τοῖς πολέμοις τοῖς πρὸς ἀλλήλους ἐν ἐκείνῳ τὰς ἐλπίδας ἔχομεν τῆς σωτηρίας, ὃς ἀμφοτέρους ἡμᾶς ἡδέως ἂν ἀπολέσειεν;

VI, 49. *πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγάλην εὐδαιμονίαν κτησαμένους, πολλοὺς δὲ τῆς ὑπαρχούσης ἀποστερηθέντας διὰ τὴν εἰρήνην*[1]).

Θωμ. 449, 27. *καὶ ἧς αὐτὸς ἔχεις χρηστότητος, καὶ ἧς τοῖς ἄλλοις αἰτιώτατος εἶ.*

452, 41. *ὁμοῦ μὲν ἀμείνους ἐντεῦθεν αὐτοὺς καθιστάς, ὁμοῦ δὲ καὶ πλείστην ὅσην εὔνοιαν ἐκ τούτων παρασκευάζων σαυτῷ*[2]).

460, 4. *νῦν μὲν ἐπὶ θήρας ἐξίοντι —, νῦν δὲ μετ' ἀνδρῶν εὖ εἰδότων μάχης κ. τ. λ.*[3]).

464, 30. *καὶ οὓς αὐτὸς ἑκάστοτ' ἐκπέμπεις, καὶ οὓς παρ' ἄλλων ἥκοντας δεχῃ.*

465, 40 *ὧν μὲν ἔχεσθαι χρή, ὧν δ' ἀπέχεσθαι.*

480, 15. *λέγων δ' οὐδὲν μᾶλλον, λέγων δ' ὅμως.*

481, 14. *ἔστι μὲν πολὺς ἐν κειμηλίοις χρυσός, ἔστι δ' ἄργυρος καὶ λίθων ὑπερφυὴς ἀφθονία πολυτελῶν.*

489, 41. *πῶς οὐ κάλλιστον τῶν ἐν ἀνθρώποις ἁπάντων δεῖ νομίζειν τοὺς λόγους; πῶς δ' οὐ πάντ' εἴσω πίπτει τοῦ θαυμαστοῦ τοῦδε καὶ δαιμονίου τῷ ὄντι πράγματος;*

Οὕτω καὶ ἐν 453, 52. *οἷς μέν — οἷς δέ*[4]).

489, 22. *καὶ οἷς — καὶ οἷς*[5]).

516, 14. *Ἐντεῦθεν — ἐντεῦθεν.*

520, 20. *φροντίζουσι — φροντίζουσι.*

541, 53. *καὶ ἐξ ὧν — καὶ ἐξ ὧν.*

---

1) *Πρβλ. καὶ* VIII, 107. *Συχνόταθ' ὡσαύτως παρ' αὐτῷ καὶ τὰ* "*τοὺς μέν — τοὺς δέ.*"

2) *Οὕτω καὶ ἐν* 460, 17. — 461, 8. — 528, 51. — 540, 55.

3) *Οὕτω καὶ ἐν* 465, 37. — 512, 53. — 540, 39.

4) *Οὕτω καὶ ἐν* 532, 33. — 537, 33.

5) *Καὶ ἐν* 513, 47. — 516, 34. — 541, 53.

Πρὸς δ' ἔτι καὶ ταῦτα·

449, 44. *τοῦτο μέν — τοῦτο δέ*[1]).
452, 33. *τῷ μέν — τῷ δέ.*
453, 19. *ὃ μέν — ὃ δέ*[2]).
30. *τὸ μέν — τὸ δέ*[3]).
456, 12. *τό τε — τό τε*[4]).
31. *τὴν μέν — τὴν δέ*[5]).
464, 33. *οἱ μέν — οἱ δέ*[6]).
476, 51. *τὰ μέν — τὰ δέ*[7]).
477, 55. *τῷ τε — τῷ τε*[8]).
504, 53. *τοὺς μέν — τοὺς δέ*[9]).
512, 5. *τοῖς μέν — τοῖς δέ*[10]).

Καὶ ἀντιστροφῆς, ἣ καὶ σπανιωτέρα ἐστίν, ἓν καὶ μόνον παράδειγμα παρὰ Θωμ. εὕρομεν· 524, 6. *"οἳ οὕτως ἀπόρως ἔχοντες, καὶ μηδ' ὅθεν ἂν πέσωσιν ἔχοντες, ὑπὲρ δὲ τοῦ τὴν γαστέρα μόνον ἐμπλῆσαι πάντ' ἂν δρᾶσαι καὶ παθεῖν ἔχοντες."*

Β'. Παλιλλογία.

Ταύτῃ, ἧπερ, ὡς ἤδη ἔλεγον, Ἰσ. πάμπαν ἀγνοεῖ, ἐν τοῖς ἑπομένοις Θ. ἐχρήσατο.

456, 43. *οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ βασιλεῦ.*
469, 8. *οὐδὲ γὰρ οὐδέ.*
520, 15. *Οὐ γάρ ἐστιν, οὐκ ἔστι.*
524, 12. *ἴσασι γὰρ καὶ μάλα σαφῶς ἴσασι.*
40. *Ταῦτα δὲ ταῦτα λέγω.*
59. *δέδοικα δήπου δέδοικα.*

---

1) *Καὶ ἐν* 480, 4.
2) *Οὕτω καὶ ἐν* 505, 46.
3) *Καὶ ἐν* 468, 26. — 508, 33. — 532, 50. — 536, 35. 55.
4) *Ὡσαύτως ἐν* 477, 8 — 484, 57. — 529, 48. — 532, 24.
5) *Καὶ ἐν* 528, 6.
6) *Οὕτω καὶ ἐν* 472, 1. — 509, 12. — 513, 15. — 529, 14.
7) *Καὶ ἐν* 529, 59.
8) *Καὶ ἐν* 484, 41. — 488, 24. — 497, 3.
9) *Καὶ ἐν* 528, 48. — 533, 51.
10) *Οὕτω καὶ ἐν* 529, 55.

Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος οὐκ ἀποκνήσω καὶ παραδείγματά τινα παραθέσθαι, ἐν οἷς ἡ αὐτὴ λέξις δίς, ἔστι δ' ὅτε καὶ τρὶς ἐν τῇ αὐτῇ ἢ καὶ τῇ ἑπομένῃ ἅμα προτάσει παρὰ Θ. ἐπαναλαμβάνεται.

448, 12. *ὥς γ' ἐγώ σου μάλα ξυνεὶς μάλ' ἔχω λογίζεσθαι.*

15. *καὶ θαυμαστήν τινα διὰ πάντων τὴν παρὰ πάντων φέρεσθαι ψῆφον.*

449, 10. *πάντα τὸν ὑπὸ γῆν καὶ ὑπὲρ γῆν χρυσόν.*

45. *καὶ κατὰ σαυτὸν ἀλλ' οὐχ ὑπὲρ σαυτόν.*

48. *οὐκ εἰ βασιλεύεις ἁπλῶς, ἀλλ' εἰ καλῶς βασιλεύεις.*

52. *μετὰ τούτων καὶ πρὸ τούτων.*

55. *τηλικαύτην ὀφείλεις εὔνοιαν ἴσχειν, ὅσην ἀξιοῖς τοὺς ἄλλους ἴσχειν πρὸς σέ.*

59. *πρὶν ἢ τῶν ἄλλων βασιλεύειν, σαυτῷ βασιλεύειν.*

452, 13. *τὸ μὲν κρατεῖν ἑαυτοῦ καὶ τῶν ἄλλων ἐστὶ κρατεῖν, τὸ δ' αὖ τῶν ἄλλων μόνον κρατεῖν, ἑαυτοῦ δὲ μή, οὐδ' ἔστιν ὅλως κρατεῖν.*

43. *οἱ γὰρ οὐχ ἃ προσεδόκησαν πεπονθότες, οἱ δὲ καὶ ὧν οὐ προσεδόκησαν ἔτυχον.*

464, 9. *διὰ πάντων τούτων εὖ ποιεῖν, — μετὰ πάντων τούτων καὶ ποιεῖν εὖ.*

Οὕτω καὶ ἐν

453, 20. *εὖ ποιεῖν — εὖ ποιεῖν.*

51. *εὖ ποιεῖν — εὖ ποιεῖν — εὖ ποιεῖς — εὖ ποιεῖν — εὖ ποιεῖν — εὖ ποιεῖν.*

456, 14. *δίδως — δίδως.*

22. *πάντων — πάντων* [1]).

457, 31. *χαίρειν — χαίρειν.*

40. *φιλοπόλεμον — φιλοπόλεμον.*

460, 25. *ἄρχων δ' ἑκατέρων — ἄρχειν ἑκατέρων.*

33. *κύριος — κύριον — ἀμφοτέρων — ἀμφοτέρων.*

468, 53. *κεχρῆσθαι — κεχρῆσθαι.*

469, 34. *ἀρχῆς — ἀρχῆς.*

---

1) Ἐν 469, 40. "*πάντων — πάντων — πάντων — πάντων.*" Ἐν δὲ 496, 24. *τρὶς ἐπαναλαμβάνεται.*

476, 7. *δικάζειν — δικάζειν.*
480, 15. *λέγων — λέγων.*
481, 37. *ἀνάγκη — ἀνάγκη.*
39. *μάλιστα πάντων — μάλιστα πάντων.*
485, 50. *ἔχεις — ἔχεις*[1]).
488, 23. *προσόντος — προσόντος.*
489, 5. *σοφός — σοφός*[2]).
10. *χρῆται — χρῆται.*
15. *ὅσον μᾶλλον — τοσοῦτο μᾶλλον — ὅσον μᾶλλον — τοσοῦτο μᾶλλον.*
38. *τυχοῦσα — τυχοῦσα.*
492, 2. *ἀνθρώπους — ἀνθρώπους.*
29. *ἑταίρους — ἑταίρους.*
493, 21. *λόγων — λόγων.*
57. *σαυτόν — σαυτόν.*
496, 3. *ἔστιν — ἔστι.*
18. *θεῖον — θεῖον*[3]).

Καὶ ταῦτα μὲν πάντα ἐκ τοῦ "περὶ βασιλείας" καὶ μόνου λόγου μετενήνεκται, ἔστι δέ τινα, ἃ καὶ πάμπαν παραλέλειπται· ὁπόσα δὲ καὶ ἐν τῷ ἑτέρῳ εὕρηται, οὐ βούλομαι λέγειν· οὐδὲν γὰρ ὄφελος τούτου ὁρῶ. Ὥσπερ τοίνυν Θ. οὕτω καὶ Ἰσοκρ., εἰ καὶ σπανιώτατα, τοῖς τοιούτοις κέχρηται, ὧν ὅμως τὰ πλεῖστα, μᾶλλον δὲ πάντα πολλοὶ διορθῶσαι ἀπεπειράθησαν, οὐ μέντοι γ' ὀρθῶς, ὡς ἐγῷμαι, ποιοῦντες.

III, 51. *ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὐτοὺς παράσχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς αὑτῶν ὠφελήσουσιν.*

IX, 41. *εἰ καλῶς τὴν αὑτοῦ φρόνησιν παρασκευάσειε, καλῶς αὑτῷ καὶ τὴν βασιλείαν ἕξειν*[4]).

---

1) *Ὀλίγῳ κατωτέρω τρὶς ἐπαναλαμβάνεται.*

2) *Ἐν* 492, 24. "*σοφοί — σοφοί.*"

3) *Πρβλ. καὶ σ.* 71 *κἑ.*

4) *Τὸ δεύτερον "καλῶς"* mit Recht, *λέγει ὁ* Blass, *εἰς "ὁμοίως" μετεβλήθη· περὶ δὲ τῶν λοιπῶν παραδειγμάτων, τοῦ πρώτου φημὶ καὶ τρίτου, τάδε·* Hel. 48, wo *κάλλους* wiederholt wird, aber beide Male inmitten des Kolon steht, und Nik. 51, wo dasselbe mit *πλεῖστα* der Fall, sind vielleicht ebenfalls zu ändern. (*Ἐ. ἀν.* 183, 1.).

X, 48. *εἰ τοὺς θεοὺς εἰδὼς περὶ κάλλους φιλονικοῦντας αὐτὸς κάλλους κατεφρόνησε.*

Γ'. Πολύπτωτον.

Ἰσ. XVI, 41. *ἐκ παντὸς τρόπου κινδυνεύων τὰ μὲν ὑφ' ὑμῶν, τὰ δὲ μεθ' ὑμῶν, τὰ δὲ δι' ὑμᾶς, τὰ δ' ὑπὲρ ὑμῶν.*

III, 7. *οὗτος — τούτῳ — διὰ τούτου — μετὰ τούτου.*

IV, 27. *ἐν ᾗ — μεθ' ἧς — δι' ἥν.*

183. *τίνας — τίσι — τίνας.*

VII, 14. *αὕτη — ταύτῃ — ταύτην.*

XVIII, 34. *αὕτη — ταύτῃ — ταύτης — ταύτην* [1]).

Οὕτω καὶ Θωμ.

461, 6. *καὶ πρὸς οὓς μεθ' ἡμῶν παρετάττοντο, μετὰ τούτων ἡμῖν ἐπίασιν, ὁμοῦ μὲν θρασυτέρους ἐκείνους ἐντεῦθεν παρασκευάζοντες καθ' ἡμῶν, κ. τ. λ.*

473, 12. *πάνθ' ὁρᾶν καὶ πάντ' ἀκούειν ἐστὶ καὶ πᾶσιν εὖ μάλα κεχρῆσθαι.*

476, 9. *καὶ μὴ τῷ σφόδρα σαυτὸν φιλεῖν καταχεχαρίσθαι σεαυτῷ καὶ τὰς ἐπιθυμίας ἐκπιμπλάναι τὰς αὐτὸς σαυτοῦ.*

501, 35. *οὐκ ἀξιοῦμεν ἡντινοῦν βασκανίαν ἢ θράσος ἑκατέροις παρ' ἑκατέρων ὑπάρχειν, ἀλλ' ἐξ ἴσης ἑκατέρους εὐνοεῖν ἑκατέροις κατὰ τὸ ἐξὸν ἑκατέροις.*

536, 26. *ἃ μὲν νῦν ἁρπάζειν καὶ πλεονεκτεῖν οἴονται δεῖν, ταῦτα πάντα μικρά τ' ἐστὶ καὶ οὐκ εἰς ἅπαν μενοῦσιν· ὧν δ' ἔπειτ' ἀγαθῶν διὰ ταῦτ' ἐκπεσοῦνται, καὶ οἷς ἐξ ἀνάγκης περιπεσοῦνται δεινοῖς, ταῦθ' οὕτω κ. τ. λ.*

Ὡσαύτως ἐν 448, 22. — 469, 2. — 477, 15. — 492, 38. — 493, 52. — 496, 11. — 516, 12. *καὶ ἀλλαχοῦ.*

---

1) *Ἴδε* Blass, *ἔ. ἀν.* 182 *κἑ.*

Δ'. Ἐρώτημα.

Ἐν τῇ χρήσει τῶν διαφόρων τῆς ἐρωτήσεως τύπων συμφωνεῖ τὰ πολλὰ Ἰσοκρ. πρὸς Θωμ., ὃς ὑπερβαλλόντως τῷ σχήματι τούτῳ χρῆται.

Ἰσ. XII, 30. *Τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπειδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω;*

XV, 117. *ἔστι δὲ ταῦτα τίνα δύναμιν ἔχοντα;*

119. *δεύτερον τί προσήκει τὸν στρατηγὸν τὸν ἀγαθόν;*

IV, 175. *Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν ἀλλ' οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν;*

VIII, 49. *Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα περὶ τῶν ἄλλων θαρρήσειεν, ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν;*

XV, 222. *ἔπειτα τίνας ἂν καὶ διαφθείραιεν καὶ τοὺς πῶς διακειμένους λάβοιεν ἂν μαθητάς; — πότερον τοὺς ἤδη κακοήθεις ὄντας καὶ πονηρούς; — ἀλλὰ τοὺς ἐπιεικεῖς καὶ χρηστῶν ἐπιτηδευμάτων ἐπιθυμοῦντας;*

XVII, 46. *καίτοι πότερον εἰκὸς ἐμὲ ἐν τοσούτοις ὄντα κακοῖς ἀδίκως ἐγκαλεῖν, ἢ Πασίωνα καὶ διὰ τὸ μέγεθος τῶν ἡμετέρων συμφορῶν καὶ διὰ τὸ πλῆθος τῶν χρημάτων ἐπαρθῆναι τὴν ἀποστέρησιν ποιήσασθαι; τίς δὲ πώποτ' εἰς τοσοῦτον συκοφαντίας ἀφίκετο, ὥστ' αὐτὸς περὶ τοῦ σώματος κινδυνεύων τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν; μετὰ ποίας δ' ἂν ἐλπίδος ἢ τί διανοηθεὶς ἀδίκως ἦλθον ἐπὶ τοῦτον; πότερον ὡς δείσας τὴν δύναμιν τὴν ἐμὴν ἤμελλεν εὐθὺς ἐμοὶ δώσειν ἀργύριον; ἀλλ' οὐχ οὕτως ἑκάτερος ἡμῶν ἔπραττεν· ἀλλ' εἰς ἀγῶνα καταστὰς ᾤμην καὶ παρὰ τὸ δίκαιον πλέον ἕξειν Πασίωνος παρ' ὑμῖν; ὃς οὐδὲ μένειν ἐνθάδε παρεσκευαζόμην, δεδιώς, μή μ' ἐξαιτήσειε Σάτυρος παρ' ὑμῶν· ἀλλ' ἵνα μηδὲν διαπραττόμενος ἐχθρὸς τούτῳ κατασταίην, ᾧ μάλιστ' ἐτύγχανον πάντων ἐν τῇ πόλει χρώμενος; καὶ τίς ἂν ὑμῶν ἀξιώσειε καταγνῶναί μου τοσαύτην μανίαν καὶ ἀμαθίαν;*

Οὕτω καὶ Θωμ.

449, 39. *Τί γὰρ μᾶλλον ἀμείνων εἶ παντὸς ἰδιώτου διὰ τὸ σχῆμα μὴ καὶ μᾶλλον χρηστὸς ὤν;*

453, 3. *Καὶ τί μεῖζον ἂν εἰς εὐδαιμονίαν ζητήσαις ἢ Θεὸν δι' ὧν οὕτω φιλανθρώπως ἴσχεις ἀκούειν θνητὸς πεφυκώς;*

461, 58. *καὶ τίς οὐκ ἂν ἀφειδήσειε τῆς ψυχῆς μετὰ τοιούτων παραταττόμενος μάλιστα λογισμῶν καὶ τοῦ πάνυ πεπεῖσθαι;*

480, 1. *Πῶς οὖν τοὺς οὕτως ἔχοντας φήσαι τις ἂν ὅλως τοῖς κοινοῖς διαφέρειν καὶ τούτοις εἶναί γε προὔργου; πολλοῦ γε καὶ δεῖ. Ἔπειτ' εἰ καὶ δοίημεν τὰ τοιαῦτ' αὐτοὺς οἵους τ' εἶναι, πότερον ὅσιον καὶ λυσιτελὲς μετ' ἀγαθῶν τῶν ἐλπίδων καὶ τοῦ καλοῦ καὶ δικαίου πρὸς ταῦτα χωρεῖν, ἢ τῇ τῶν ἀδικιῶν μεγίστῃ χρωμένους; τί ἂν εἴη μεῖζον κακὸν τοῦ θησαυροῖς εὑρημένοις ὑπ' ἄλλων ἐπιπηδᾶν;*

484, 18. *Εἰ γὰρ αἱ μὲν ἐμπορεῖαι δι' ὧν πορίζουσιν ἑκάστοθ' ἡμῖν συνιστᾶσι τὸν βίον, ταύτας δ' ἀνάγκη πεπαῦσθαι, ἑνὸς μηδενὸς ἔτι τῶν ἐμπόρων διὰ τὸ ταῦτα πείσεσθαι προσδοκᾶν βουληθέντος χρῆσθαι τῇ τέχνῃ, πῶς οὐχ ὃ λέγω προβήσεται; Πῶς δ' οὐκ ἂν τῆς ἐντεῦθεν προμηθείας κλεισθείσης ἀβίωτον βιωσαίμεθα βίον;*

485, 1. *Ὅταν γὰρ τῶν ἐν τῷ τελευτᾶν μηδουστινασοῦν διαδόχους ἀμέλει κεκτημένων τοῦ κλήρου ἔπειθ' ὑμεῖς κληρονομεῖν ἀξιοῦτε, πῶς οὐ παρανομίας ἁλίσκεσθε, τῶν μὲν ἀλλοτρίων ὡς οἰκείων ἀντιποιούμενοι, τοῦ δὲ κεκτημένου μηδένα μηδοπωστιοῦν ποιούμενοι λόγον, μηδ' ἂν τὰ ἔσχατα πεπλημμεληκὼς ᾖ;*

34. *Εἰ δὲ τοὺς προσήκοντας ὁ λόγος ἀπελαύνει τοῦ κλήρου, ποῦ τοὺς μὴ προσήκοντας θήσομεν;*

500, 19. *Κοινῇ μὲν οὖν αἱ πόλεις οὕτως ἐχόντων, ἰδίᾳ δὲ κἂν τῷ πολιτεύεσθαι πῶς;*

513, 14. *Εἰ δ' ἴσχουσι μὲν (μισθοὺς) παρὰ βασιλέως — πολλῷ μείζους τῶν πόνων, — πόλεμος δὲ καὶ εἰρήνη ταὐτὸν αὐτοῖς πρὸς τὸ ταὔτ' ἔχειν λαμβάνειν δύνανται,*

τί ποταμῶν ἄνω καὶ τῆς πρὸς ὑμᾶς αὐτῶν ὑποσχέσεως οὕτω θρασύνονται;

521, 41. *τίς οὖν ἕλοιτ' ἂν εὖ φρονῶν καὶ αὐτὸν καὶ τοὺς ἄλλους προέσθαι, ἢ τούς τ' ἄλλους σῶσαι καὶ αὐτὸν μετὰ τῶν ἄλλων σεσῶσθαι;*

53. *Πόθεν καὶ γὰρ ἕξουσι τὸ πιστεύεσθαι; πότερον ἀφ' ὧν κέκτηνται;*

524, 1. *Ἀλλ' οὐχ ἁλώσονται προδοσίας καὶ μηδὲν ἔχοντες, οὐδὲ τὴν ὑπὲρ ἡμῶν λείψουσι τάξιν κέρδους εἵνεκα; Καὶ τίς ἂν ταῦτ', οἶμαι, τῶν πάντων δέξαιτο;*

532, 28. *Καίτοι εἰ τοὺς ἀδικοῦντας εὖ ποιεῖν θεῖοι παρακελεύονται νόμοι, τὸ τοὺς οὐχ ὅπως οὐδὲν ἀδικοῦντας ἀλλὰ καὶ διὰ τὴν συμφορὰν ἐλέους ἀξίους μυκτηρίζειν καὶ διαβάλλειν αἱρεῖσθαι ἡλίκον θεόθεν οἴσει τὸν ὄλεθρον; Φέρ' ἐὰν δ' εἰς ταῦτ' αὐτοῖς ἐμπεσοῦσι τουτονὶ προσενεχθῇ τις τὸν τρόπον, πῶς ἕξουσιν; εἰ μὲν ἐπιεικῶς καὶ μετρίως, κ. τ. λ. εἰ δὲ πολλοῦ γε καὶ τοῦ παντὸς σφίσι δεήσει τὰ τοιαῦτ' ἀνασχέσθαι, πῶς οὐκ ἀτόπως ἔχουσι ταῦτ' εἰς τοὺς ἄλλους ποιεῖν ἀξιοῦντες, ὧν ἐάν ποτ' αὐτοὶ πειραθῶσι συμφορὰν νομιοῦσι;*

536, 44. *Εἰ γὰρ τῷ μὴ τῶν οἰκείων μεταδιδόντι τιμᾷ τῶν ἐσχάτων Θεός, τῷ καὶ τὰ τῶν ἄλλων ἀφαιρουμένῳ καὶ τοὺς τῶν πόνων ἀποστεροῦντι μισθούς, ὃ μείζονος ἀδικίας ἐστὶ γνώρισμα, τί καὶ χρήσεται;*

Οὕτω καὶ ἐν 449, 3. 30. — 452, 51. — 461, 12. — 468, 22. — 469, 25. 33. — 480, 46. — 481, 4. 18. 54. — 484, 44. — 488, 13. — 489, 41. — 493, 11. 29. — 497, 48. — 500, 41. — 501, 10. — 508, 58. — 509, 1. 59. — 512, 1. 8. 53. — 513, 13. 30. — 516, 8. 29. 33. 46. — 520, 45. — 521, 21. 34. 40. — 524, 9. — 525, 16. 40. — 529, 26. — 532, 42. — 536, 1. — 541, 32.

Ε'. Πολυσύνδετον.

Ἰσ. IX, 39. *οὐδεὶς οὔτε θνητὸς οὔθ' ἡμίθεος οὔτ' ἀθάνατος εὑρεθήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδ' εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν.*

Ἐπιστ. IX, 8. *τόπος, ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέμου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων.*

Θωμ. 453, 14. *ἀγεννοῦς δὲ καὶ φαύλης καὶ μικρᾶς διανοίας καὶ οἷον πλεονεκτικῶς πως ἐχούσης τὸ μηδενὸς λαμβάνειν χρῄζοντα.*

456, 33. *τὴν δὲ δορυφόροις καὶ στρατοπέδοις καὶ ὅπλοις καὶ πᾶσι τούτοις κρατυνομένην.*

461, 21. *ἀποχρῶσιν, εὖ οἶδα, τούτοις, καὶ πλήθους εἵνεκα καὶ παρασκευῆς καὶ τῆς περὶ τὰς μάχας εὐψυχίας καὶ τόλμης, τοὺς πολεμίους ἐκπλήττειν τε καὶ φοβεῖν.*

473, 38. *καὶ πολεμεῖν καὶ μάχεσθαι τούτοις καὶ μετὰ μείζονος ἀμύνεσθαι τῆς παρασκευης.*

477, 47. *οὐδὲ στρατόπεδα καὶ πρεσβείας καὶ πόλεις καὶ ἄττα τοιάδε προστήσεσθε.*

504, 4. *οὓς ἂν ἑκάστοθ᾽ ὁρῶμεν ἐν σπάνει καθεστῶτας τοῦ βίου καὶ πενίᾳ συζῶντας καὶ οἷς οὐκ ἔδει ταλαιπωροῦντας, τούτοις συμπονεῖν καὶ συναλγεῖν καὶ συνάχθεσθαι καὶ πᾶσιν οἷς ἔξεστιν ἐπικουφίζειν καὶ παραμυθεῖσθαι σφίσι τὰ δυσχερῆ καὶ ὅλως κοινωνοὺς ποιεῖσθαι τῶν εἴτ᾽ ὄντων βούλει λέγειν εἴτ᾽ οὐκ ὄντων ἡμῖν.*

505, 37. *ἀλλ᾽ ἀεὶ καὶ παρὰ πάντα δήπου τὸν χρόνον χρησιοὺς ἡμᾶς εἶναι δεῖ καὶ δικαίους καὶ σώφρονας καὶ πᾶσιν, ὡς εἰπεῖν, τοῖς γιγνομένοις κομῶντας.*

512, 2. *Καὶ μὴν καὶ αὐτὸ στρατεύεσθαι καὶ ὅπλα μεταχειρίζειν εἰδέναι καὶ πῶς καὶ πότε καὶ ὅπως τοῖς πολεμίοις ἐπιθέσθαι καὶ ξυμβαίνειν ἢ μὴ τέχνη τίς ἐστι θαυμαστή.*

516, 18. *ὁ δὲ τὴν ἄμαχον ταύτην, καὶ πλήθους εἵνεκα λέγω καὶ ῥώμης καὶ θαυμαστῆς διὰ πάντων παρασκευῆς, ἐπαγόμενος στρατιὰν καὶ πρὸς τὸ δοκοῦν ἑαυτῷ καὶ γῆν καὶ θάλατταν μεθιστὰς καὶ ταῖς ἀτόποις ὑπερβολαῖς πάντας ἐκπλήττων καὶ τὴν Ἑλλάδα πᾶσαν νομίζων αὐτοβοεὶ διαρπάσειν, οὗτος κ. τ. λ.*

521, 23. *Καὶ μάλισθ᾽ ὅταν οἱ φυλάττειν λαχόντες μὴ τριωβολιμαῖοι καὶ πένητες καὶ τοῦ μηδενὸς ἄξιοι τυγχάνωσιν ὄντες, ἀλλ᾽ οἷοι καὶ οἰκίας σφῶν καὶ ἀγροὺς ἐν*

πόλει καὶ τάφους πατρῴους τε καὶ παππῴους καὶ τὸ μέγιστον γνώμης εὐθύτητα καὶ τρόπους χρηστούς τε καὶ σώφρονας καὶ πάντα τὰ τοιαῦτα δεικνύναι.

525, 59. *ἐπαινεῖν καὶ θαυμάζειν καὶ περὶ πλείονος ποιεῖσθαι τῶν ἄλλων καὶ πᾶσιν οἷς εἰκὸς τουτουσὶ θεραπεύειν.*

533, 41. *ἀλλὰ τὸ μὲν ἀφιλανθρώπως αὐτοὺς ἴσχειν καὶ παρὰ τὸ δέον ἐπιτιμᾶν καὶ ὕβρεσι πλύνειν καὶ τὰ δεινότατ' ἀπειλεῖν καὶ μαστιγοῦν καὶ δεῖν καὶ στρεβλοῦν καὶ ξαίνειν κατὰ τοῦ νώτου πολλὰς καὶ μὴν καὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν τούτους καταναγκάζειν, κ. τ. λ.*

537, 41. *χρημάτων μὲν γὰρ ὄγκον καὶ πλῆθος κτημάτων καὶ πλέθρα γῆς τόσα καὶ τόσα καὶ προσέτι παντοδαπῶν βοσκημάτων ἀγέλας, ταῦτα μὲν κ. τ. λ.*

Οὕτω καὶ ἐν 460, 45. — 473, 34 — 484, 3. 44. — 488, 4. 34. 47. — 489, 44. — 492, 25. — 493, 4. 13. — 513, 15. 20. 43. — 516, 9. 49. — 520, 22. — 521, 10. — 524, 27. 36. — 528, 48. — 540, 29. 36. *καὶ ἀλλαχοῦ.*

ΣΤʹ. Ἀσύνδετον.

Τὸ ἀσύνδετον ἐν τοῖς ἀναγιγνωσκομένοις λόγοις, ἐν τῇ γραφικῇ, ὡς λέγει Ἀριστοτέλης, ἀποδοκιμάζεται. Εἰκότως· ἔστι γὰρ ὑποκριτικόν [1]).

Ἰσ. VIII, 96. *τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας, ἀνομίας, φιλαργυρίας.*

XV, 93. *μετὰ δὲ τούτους Ὀνήτωρ, Ἀντικλῆς, Φιλωνίδης, Φιλόμηλος, Χαρμαντίδης* [2]).

Θωμ. 508, 21. *ἀναισχυντοῦντες, ἐπιορκοῦντες, πονηρευόμενοι· καὶ νῦν μὲν λωποδυτοῦντες, τοίχους διορύττοντες, τὰ τῶν ἄλλων ἁρπάζοντες, νῦν δ' ἱεροσυλοῦντες καί, ὃ μέγιστον, στάσεις ἐγείροντες.*

1) *Ἡ λέξις "ὑπόκρισις" οὐδαμοῦ παρ' Ἰσ. εὕρηται.*

2) *Πρβλ. καὶ* XII, 264. — XV, 147. 321.

521, 8. *οἰκοδομοῦντες, ἐπισκευάζοντες, πάντ' ἀσκούμενοι τρόπον.*

8.

Δύο ἔτι παραθήσομαι σχήματα, ὧν ἀμφότεροι χρῆσιν ποιοῦνται.

Α΄. Ὑπερβολή.

Ἰσ. I, 11. *ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα.*

III, 27. *ἅπαντα μὲν οὔθ' εὑρεῖν οὔτ' εἰπεῖν δυνατόν ἐστι.*

IV, 47. *Ἀπείποιμεν δ' ἂν ἀκούοντες καὶ λέγοντες, εἰ πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν.*

96. *ἐφ' αἷς ἕκαστος ὑμῶν οὕτως ἂν ἀλγήσειεν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ λόγου δηλώσειεν*[1]).

Θωμ. 481, 53. *ὑπερφυῶς δεινόν τε καὶ ἧς οὐκ ἂν εἰπεῖν δυναίμην κακίας.*

488, 29. *καὶ ἣν ἄν, ὦ βασιλεῦ, φήσῃς τῶν ἁπασῶν ἡδονήν, μᾶλλον δ' εἰς ἓν ἁπάσας ὁμοῦ συνενηνοχώς, τοσοῦτον ἐλάττους τῆς ἐντεῦθεν προσγιγνομένης ταύτας εὑρήσεις, ὡς μηδὲ παραβάλλειν τὸ παράπαν ἐξεῖναι.*

512, 26. *Ὡς οἷς γε νῦν πάσχουσι καὶ ταλαιπωροῦνται οὐδὲ τοῦθ' ὅλως ἔνεστι λέγειν.*

521, 46. *καὶ μόνοις τούτοις (τοῖς φυλάττειν λαχοῦσιν) οὐχ ὅσον τὰ τοιαῦτα πιστεύειν, ἀλλὰ καὶ θαρρεῖν πολὺ πλέον ἢ μεγίστοις καὶ θαυμαστοῖς τείχεσι καὶ προβόλοις καὶ οἷα τὰ Σεμιράμιδος, ἧπου τούς γε τἀναντία τούτων ὄντας καὶ τοῖς ὅλοις ἀπόρους οὐκ ἂν φθάνοιμεν οὑτωσὶ διαγράφοντες πρὸς τὸ ταῦθ' ὑπηρετεῖν οἵους τ' εἶναι, ὡς μηδὲ χρῆναι τούτων τὸ παράπαν ἐν τούτοις μεμνῆσθαι.*

---

1) *Ἴδε καὶ* II, 5. 11. — III, 35. — IV, 81. — VIII, 56. — IX, 34. — XII, 54. 142.

Β΄. Ἐπανόρθωσις.

Ἰσ. XII, 20. *μᾶλλον δὲ ταπεινῶς.*

127. *μᾶλλον δ' ἀδύνατον.*

Θωμ. 452, 20. *μᾶλλον δὲ — τὴν χείρω δόξαν ὑπέχειν.*

456, 30. *μᾶλλον δὲ καὶ βασιλείαν καὶ πόλιν.*

464, 10. *μᾶλλον δὲ μετὰ πάντων τούτων καὶ ποιεῖν εὖ.*

468, 7. *μᾶλλον δὲ πάντων ὡς εἰπεῖν τῶν αἰσχίστων λόγον ποιεῖσθαι.*

469, 41. *μᾶλλον δ' ἐπειδὴ τοῦτο μόνον τῶν πάντων ἅπαντα σῴζει.*

472, 24. *μᾶλλον δ' οὐδενὸς ἄξιον ὄν.*

477, 11. *μᾶλλον δὲ πάντων καὶ ποιεῖν καὶ λέγειν.*

485, 56. *μᾶλλον δ' οὕτως εἰς σεαυτὸν ἅπαντας ἕλξεις.*

488, 30. *μᾶλλον δ' εἰς ἓν ἁπάσας ὁμοῦ συνενηνοχώς*[1].

9. Παραβολή.

"*Εἰ δέ τισι δοκῶ,*" *λέγει Ἰσ. ἔν τινι τῶν αὐτοῦ λόγων*[2], "*τὴν παραβολὴν ἀπρεπῆ πεποιῆσθαι πρὸς τὴν ἐκείνων δόξαν, ταύτην μὲν ἐῶ.*". *Ταύτης τοίνυν ἱκανὰ παρ' ἀμφοτέροις εἴρηται παραδείγματα.*

Ἰσ. I, 29. *τοὺς κακοὺς εὖ ποιῶν ὅμοια πείσει τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσι.*

32. *ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν.*

VIII, 34. *ὁρῶ γὰρ τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας καὶ τὸ λαβεῖν τι τῶν ἀλλοτρίων μέγιστον ἀγαθὸν νομίζοντας ὅμοια πάσχοντας τοῖς δελεαζομένοις τῶν ζῴων.*

103. *τὴν φύσιν ὁμοίαν ἔχει (ἡ ἐξουσία) ταῖς ἑταίραις ταῖς ἐρᾶν μὲν αὐτῶν ποιούσαις, τοὺς δὲ χρωμένους ἀπολλυούσαις.*

---

1) *Οὕτω καὶ ἐν* 453, 47. — 464, 14. — 468, 13. 35. — 473, 17. 26. — 476, 14. — 481, 51. — 485, 6. — 488, 21. — 489, 29. — 493, 21. 50. — 504, 1. — 516, 10. — 521, 3. — 536, 2. — 544, 23. — 548, 1. *καὶ ἀλλαχοῦ.*

2) XII, 227.

12

Ἐπιστ. IV, 8. *παραπλήσιον, ὡς ἐμοὶ δοκεῖ, πεπονθὼς τῶν πεπλευκότων τισίν, οἳ τὸ πρῶτον, ὅταν χρήσωνται χειμῶσιν, οὐκέτι θαρροῦντες εἰσβαίνουσιν εἰς θάλατταν, καίπερ εἰδότες, ὅτι καὶ καλοῦ πλοῦ πολλάκις ἐπιτυχεῖν ἔστι* [1].

Θωμ. 449, 19. *σοὶ μὲν τούτους* (*τοὺς ἀρχομένους*) *διὰ πάντων ξυμβαίνειν πειρᾶσθαι καὶ κατὰ πόδας ὡς οἷόν τε χωρεῖν, τούτοις δ' αὖ σε καλοῦ παντὸς εἶναι παράδειγμα, ὡς ἂν εἴη σῶμα πολλοῦ τινος ἄξιον ἐκ κεφαλῆς εἰς πόδας σῷζον τὸ κάλλος.*

460, 26. *Εἰ δὲ τοῦ μὲν φροντίζεις, τοῦ δὲ μή, πρῶτα μέν, ὦ βασιλεῦ, ἔοικας ἰατρῷ ἑνός τινος σώματος, τὸ μὲν ὅπως αὐτὸ κάλλισθ' ἕξει πάντα ποιοῦντι, θατέρου δὲ μηδοντινοσοῦν τὸ παράπαν ἔχοντι λόγον.*

476, 43. *Ἔτι τοίνυν ὥσπερ οἱ τῶν ἰατρῶν ἀγαθοὶ οὐ τὰ παρόντα μόνον ἀκοῦνται τῶν νοσημάτων, ἀλλὰ καὶ τοὺς ἐνσκήψαντας τῷ σώματι πάλαι διεφθορότας χυμοὺς μετὰ πολλοῦ τοῦ περιόντος ἐξελαύνειν οἴονται δεῖν καὶ διὰ πάντων τούτων τὴν σφῶν ἐπιδείκνυνται τέχνην, ὡς δὲ καὶ αὐτὸς κ. τ. λ.*

480, 9. *ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, φησὶ Δημοσθένης, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρόταθ' εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει.*

512, 36. *ἀλλὰ καὶ δοκοῦσιν ἐοικέναι κυνὶ ἐλαύνοντί τε τοὺς λύκους καὶ προσαπτομένῳ τῆς ποίμνης.*

520, 51. *ἐάν τε τοὐναντίον στασιώδης τις καὶ τολμηρὸς καὶ θρασὺς καὶ νόμοις οὐκ εἴκων, παλινῳδίαν ᾄσεται* (*ὁ δῆμος*) *καὶ μεταβαλεῖ καὶ θᾶττον ἔσται χρηστὸς ἀντὶ πονηροῦ; καθάπερ τις πῶλος ὑβριστὴς καὶ δυσκάθεκτος θαυμαστοῦ τινος πωλοδάμνου τυχών, εὖ μάλ' εἰδότος ἅρμ' ἐλαύνειν καὶ δεινοῦ τὰ τοιαῦτα.*

Πρβλ. καὶ 465, 10. 22. — 501, 49. — 509, 33. — 533, 40.

---

1) **Πρβλ. καὶ** I, 45. 52. — X, 10. — XII, 39. 226.

10.

Προσφωνήμασιν, "ὦ βασιλεῦ, ὦ ἄνδρες, κ. τ. λ.," ἀμφότεροι ἱκανῶς ἐχρήσαντο, ὡς τοῦτο τοῖς ἑπομένοις δῆλον.

Θωμ. 448, 13. *Οὔτ' αὐτός μοι δοκεῖς, κράτιστε βασιλεῦ.*

452, 18. *οὐκ ἄν ποτ' αὐτός μοι δοκεῖς, ὦ βασιλεῦ, κ. τ. λ.*

42. *ὅπως οὖν, ὦ βασιλεῦ.*

456, 20. *Ὡς οὖν τῆς μεγάλης καὶ θαυμαστῆς ταυτησὶ δημαγωγίας, ὦ βασιλεῦ, μεγάλας κ. τ. λ.*

44. *οὐκ ἔστιν, ὦ βασιλεῦ.*

460, 27. *πρῶτα μέν, ὦ βασιλεῦ, ἔοικας κ. τ. λ.*

461, 19. *οὐδὲ σοί γ' αὐτῷ, βασιλεῦ, πρὸς οἷς ἔχεις κ. τ. λ.*

468, 29. *ἀλλὰ βούλου μᾶλλον, ὦ βασιλεῦ, κ. τ. λ.*[1])

548, 9. *Ἃ μέν, ὦ ἄνδρες, μέγιστα καὶ κοινότατα κ. τ. λ.*

Ἰσ. *δ' ὀνομαστὶ τὰ πολλὰ λέγει·*

II, 5. *Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, ...*

V, 1. *Μὴ θαυμάσῃς, ὦ Φίλιππε.*

XIV, 1. *Εἰδότες ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ...*

6. *Δεόμεθ' οὖν ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι.*

XIX, 1. *Ἐνόμιζον μέν, ὦ ἄνδρες Αἰγινῆται, ...*

11.

Ἀνακεφαλαιώσεων, οἵας παρ' Ἰσοκρ. εὑρίσκομεν, ποιεῖται ἔστιν ὅτε καὶ Θωμ. χρῆσιν.

IX, 19. *Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι.*

XII, 39. *Ἃ μὲν οὖν ἠβουλήθην καὶ περὶ ἐμαυτοῦ καὶ περὶ τῶν ἄλλων —, ταῦτ' ἐστί.*

XXI, 4. *Τὰ μὲν οὖν γεγενημένα ταῦτ' ἐστί*[2]).

Θωμ. 496, 41. *Ἃ μὲν οὖν ἀρίστου πέρι καὶ θαυμαστοῦ βασιλέως φάναι προσῆκε, — ταῦτ' ἐστί.*

---

1) *Οὕτω καὶ ἐν* 476, 48. — 477, 22. — 480, 53. — 485, 36. — 488, 29. — 492, 10. 45. — 493, 20. 24.

2) *Πρβλ. καὶ* III, 27. — V, 83. — XVI, 10.

548, 9. Ἃ μέν, ὦ ἄνδρες, μέγιστα καὶ κοινότατα καὶ ὡσπερεὶ κεφάλαια πολιτικῶν παραγγελμάτων εἰπεῖν δεῖ, ταῦτ᾽ ἐστί.

12.

Ἰσ. ἔν τινι τῶν λόγων αὐτοῦ λέγει[1]· "τους μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες τοὺς εὐλογουμένους τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν, ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος ἀλλ᾽ οἰκείοις παρακαλῶ καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων," καὶ ἀλλαχοῦ[2]· "τὸ γὰρ μὴ δεῖν ἀλλοτρίοις χρῆσθαι παραδείγμασιν ἀλλ᾽ οἰκεῖον ὑπάρχειν, πῶς οὐκ εἰκὸς ὑπ᾽ αὐτοῦ σε παροξύνεσθαι καὶ φιλονικεῖν, ὅπως τῷ προγόνῳ σαυτὸν ὅμοιον παρασκευάσεις;" Τοιούτων τοίνυν παραδειγμάτων, οἰκείων τὸ πλεῖστον καὶ γνωρίμων ἅμα, ἀμφότεροι ἐν τοῖς λόγοις αὐτῶν χρῆσιν ἐποιήσαντο, τῷ θύλακι καὶ οὐ τῇ χειρὶ ταῦτ᾽ ἐν αὐτοῖς σπείραντες. Καὶ περὶ μὲν Ἰσοκρ. οὐδὲν δέομαι λέγειν· αὐτὸς γὰρ οὗτος, ὡς ἔφην, τοῦθ᾽ ὁμολογεῖ, ὅθεν καὶ τὸν σκοπὸν τῆς τούτων χρήσεως μανθάνομεν[3]).

Θωμ. 460, 14. Ἀλέξανδρον γοῦν Φιλίππου καὶ συγκαθεύδειν τοῖς ἔπεσιν Ὁμήρου φασί.

468, 41. καθάπερ Ἀριστείδης ὁ Λυσιμάχου καὶ Περικλῆς ὁ Ξανθίππου, ὁ μὲν οὕτω χρημάτων διαφανῶς, ὡς Θουκυδίδης φησίν, ἀδωρότατος γεγονώς, ὥστε καὶ τοὺς ἀγροὺς ἠφίει τῇ πόλει οὐ φόβῳ διαβολῆς ἀλλὰ τῷ μὴ τούτοις ἡττᾶσθαι· ἐπεὶ βουλομένῳ κατέχειν οὐδ᾽ ἂν εἷς, οἶμαι, προσέστη· Ἀριστείδης δ᾽ ὑπὸ τοῦ μηδὲν ἔχειν, ἔχων καὶ ταῦθ᾽ ὅτι πλείστοις, εἴπερ ἐβούλετο, χρήμασι περιρρεῖσθαι, ὁ δ᾽ οὐδὲ τὰς θυγατέρας οἷός τ᾽ ἦν ἀνδράσιν ἐκδοῦναι, ἀλλὰ ταύτας ἡ πόλις τῶν Ἀθηναίων μετὰ τὴν ἐκείνου τελευτὴν θαυμαστῶν ἠξίωσε γάμων διὰ τὴν τοῦ πατρὸς ἀρετήν.

---

1) IX, 77.
2) V, 113. — **Πρβλ. καὶ** IV, 143.
3) **Ἴδε Διονύσ. Ἰσ.** 4.

473, 20. *Ἀμέλει τοι καὶ Ἀλέξανδρος ὁ Φιλίππου τοὺς θησαυροὺς ἐρωτηθεὶς τοὺς αὐτοῦ δείκνυσι τοὺς ἑταίρους.*

55. *ὃ πράττειν οὐχ οἷοί τ᾽ ὄντες Νεοκλέους Θεμιστοκλῆς καὶ Κλέων ὁ Κλεαινέτου, ὁ μὲν ἡνίκα τοῦ δημαγωγεῖν ἥπτετο πρῶτον συναγαγὼν τοὺς ἑταίρους τὸ πρὸς αὐτοὺς ἔτ᾽ ἔχειν οἰκείως ἀπεῖπε καθάπαξ, δέοι τοῦ μηδὲν ὧν οὐκ ἔδει δι᾽ αὐτοὺς δρᾶσαι προῆχθαι· Θεμιστοκλῆς δὲ καίτοι διαφερόντως ὢν σπουδαρχίδης ἀπηύχετο πᾶσαν ἀρχήν, ἐν ᾗ μηδὲν πλέον ἔμελλον ἔχειν τῶν ἄλλων οἱ φίλοι.*

500, 15. *Θεόπομπος γοῦν ὁ Λακεδαιμονίων βασιλεὺς πρὸς τὸν εἰπόντα σῴζεσθαι τὴν Σπάρτην διὰ τοὺς κρατοῦντας ἀρχικοὺς ὄντας μᾶλλον ἔφη διὰ τοὺς πολλοὺς πειθαρχικοὺς ὄντας.*

508, 25. *Περίανδρος ὁ Κυψέλου, Κορινθίων βασιλεύς, δεδιὼς οὔτε τοὺς πολίτας εἴα δούλους δήποτε κτᾶσθαι οὔτ᾽ ἐπ᾽ ἀγοραῖς ὅλως καθῆσθαι μηδὲν πράττοντας, ἀλλ᾽ ἑκάστοτ᾽ αὐτοῖς ἔργα παρεῖχεν, ἵνα μὴ σχολὴν ἄγοντες στασιάζωσι.*

528, 18. *Τῇ τε γὰρ Σπάρτῃ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ἀπολαῦσαι καὶ οὕτω θαυμαστοῖς τισιν ἄγαν κεκοσμῆσθαι τροπαίοις διὰ Λυκοῦργον καὶ τὰς Λυκούργου νομοθεσίας ὑπῆρξεν, ὡς καὶ τῆς οἰκουμένης ἑκασταχόσε ταυτησὶ τὸ κλέος ἐλάσαι, καὶ προσέτ᾽ ἀκίνητον κατὰ παντὸς ἑστάναι τοῦ χρόνου· οὔκουν ἔστι γ᾽ οὐδεὶς ἄχρι τοῦ δεῦρο, ὃς Λακεδαιμονίων μνησθεὶς ἄνευ ἐγκωμίων ἐμνήσθη, ἀλλ᾽ ἅμα τῷ μεμνῆσθαι καὶ τὸ θαυμάζεσθαι συνεισέρχεται· τούς τε Θηβαίους ἐνταῦθα δόξης Ἐπαμεινώνδας προήγαγεν, ὡς καὶ φοβεροὺς τοῖς πᾶσι μετὰ τὴν ἐν Λεύκτροις μάχην γενέσθαι καὶ μεῖζον ἢ καθ᾽ αὐτοὺς φρόνημα σχεῖν· ἀνθ᾽ ὧν ὥσπερ Ἀμφιπολῖται Βρασίδᾳ καθάπερ ἥρωι καὶ οἰκιστῇ θύειν ἠξίουν, ὅτι αὐτοὺς Ἀθηναίων ἀπέστησεν, οὕτω Λυκοῦργον μὲν Σπαρτιᾶται, Θηβαῖοι δ᾽ Ἐπαμεινώνδαν, δι᾽ ἅπερ εἰς αὐτοὺς ἔδρασαν, ἰσοθέους νομίσαντες εἶναι καὶ τῆς ἀνθρωπείας φύσεως κρείττους τὰ μέγιστα πάντων καὶ τιμᾶν αὐτοὺς ᾤοντο χρῆναι· οὕτως Ὅμηρον μὲν Σμυρναῖοι, Κῷοι δ᾽ Ἱπποκράτην καὶ Δημόκριτον Ἀβδηρῖται καὶ Σάμιοι*

Πυθαγόραν, Αἴαντα δὲ Σαλαμὶς καὶ Τρῶες Ἕκτορα καὶ ἑτέρους ἕτεροι· Ἀθηναίους δ' ἐξαιρῶ τοῦ λόγου.

537, 1. *Μάρτυρες δ' ἀμφοῖν Ἀθηναῖοι ἐν τῷ Μηδικῷ πολέμῳ, μετὰ δικαιοσύνης καὶ προθυμίας ὑπερφυοῦς κάλλιστ' ἀνθρώπων πάντων ἠγωνισμένοι, καὶ τὰς μεγίστας καὶ θαυμαστὰς τῶν ἁπάντων πασῶν οὐκ ἐν τοῖς ἔμπροσθεν μόνον ἀλλὰ κἂν τοῖς ἔπειτα χρόνοις, προσθήσω δὲ καὶ τὸν ἅπαντ' αἰῶνα, νίκας ἀνῃρημένοι· τοῦτο δ' ἐπὶ τῶν Σικελικῶν τὰ πάντων αἴσχιστα διὰ τὴν τοῦ στρατηγοῦ νωθείαν καὶ προσέτι σφῶν αὐτῶν πλεονεξίαν ἠτυχηκότες, καὶ ταῦθ' οὕτω πλήθους καὶ μεγέθους παρασκευῆς ἔχοντες, ὡς καὶ τῆς Εὐρώπης ἁπάσης ἐντεῦθεν ἂν περιγενέσθαι δοκεῖν.*

Οὕτω καὶ ἐν 461, 55. — 469, 25. — 476, 29. — 480, 24. — 492, 46. — 516, 14. 23. 29. 35. 38. 46. — 529, 30. — 540, 20.

Κεφ. Γ'.

Καὶ ταῦτα μὲν οὕτω. Νῦν δὲ τοῖς ἐν σελ. 42. κε'. εἰρημένοις, συμπληρῶσαι ταῦτ' ἐν τούτῳ τῷ κεφαλ. βουλόμενος, μίκρ' ἄττα εἶμι προσθήσων, λέξεις τινὰς λέγω καὶ φράσεις, ἅς, εἰ καὶ μὴ συχνάκις, εὑρίσκομεν ὅμως παρ' ἀμφοτέροις, καὶ αἷς πῇ μὲν ὁ ἕτερος τούτων θαμινώτερον, πῇ δὲ καὶ σπανιώτερον ἐχρήσατο, καὶ περὶ τοῦ σημαινομένου καὶ τῆς χρήσεως τῶν ὁποίων καὶ βραχύν τινα λόγον ἑκάστοτε, εἰ μή τις τούτου χρεία ὑπεφαίνετο, προτάττειν ἄσκοπον ὅλως καὶ περιττὸν ἡγησάμην· πᾶς γάρ τις, οἶμαι, οἶδεν, ὅ,τι τὸ "οὐ μὴν ἀλλὰ" βούλεται καὶ τί τὸ "ἀνάγκη πᾶσα" δηλοῖ.

1. Εἰκότως.

Πολλάκις Ἰσ. δοκιμάζων τι πρότερον αὐτῷ εἰρημένον χρῆται τῇ λέξει "εἰκότως", ᾗ πάντοτε πρότασις μετὰ τοῦ "γὰρ" ἕπεται τὸ τῆς δοκιμασίας αἴτιον δηλοῦσα.

VIII, 113. οὕτω δ' ὑπόπτως πρὸς ἅπαντας ἔχειν, ὥστε μηδὲ τοῖς οἰκειοτάτοις θαρρεῖν πλησιάζοντας; εἰκότως· συνίσασι γὰρ κ. τ. λ.

XV, 136. ἀλλὰ πλείστων ἀγαθῶν αἴτιος γεγενημένος χεῖρον διάκεισαι τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων· εἰκότως· οἱ μὲν γὰρ κ. τ. λ.

Οὕτω καὶ Θωμ.

453, 50. καὶ τὴν ἡμέραν ἐκείνην ἰδιώτης οὐ βασιλεὺς εἶναι νομίζῃς· εἰκότως· οἷς γὰρ κ. τ. λ.

457, 40. ὥσπερ οὐδὲ φιλοπόλεμον ὄντα ταυτησὶ μὴ μετέχειν· εἰκότως· τὸν γὰρ κ. τ. λ.

472, 24. *τούτου δ' ἀπόντος, κἂν μυριάκις ἐκεῖνο παρῇ, οὐδὲν μᾶλλον δ' οὐδενὸς ἄξιον ὄν· εἰκότως· πᾶσα γὰρ κ. τ. λ.*

Πρβλ. καὶ 517, 58. — 529, 49.

2. *Καθ' ἑκάστην τὴν ἡμέραν, ἡμέρας καὶ νύκτας, κ. τ. λ.*

Ἰσ. II, 2. *ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν.* — 11. *περὶ ἂν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν.*

9. *τὰ γὰρ ἄλλα τὰ συμπίπτοντα κατὰ τὴν ἡμέραν ἑκάστην τούτων ἕνεκα πρακτέον ἐστί.* — III, 22. *Οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν.* — IX, 43. *οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων.*

VIII, 109. *ἀλλὰ γὰρ ἐπὶ τῶν ἐλαττόνων καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν.* — XV, 39. *ἐνδεεῖς — ὄντας τῶν καθ' ἡμέραν.*

Θωμ. 472, 58. *ἐὰν μὴ καθ' ἑκάστην ὡς εἰπεῖν εὖ πάσχωσι.* — 493, 54. *καὶ τῷ καθ' ἑκάστην ὡς εἰπεῖν βίῳ δικάζεις.*

460, 12. *πρὸς τούτους σαυτὸν ἀπευθύνῃς τῇ καθ' ἡμέραν μελέτῃ.* — 533, 55. *καὶ πάνθ' ὑπὲρ τοῦ καθ' ἡμέραν βίου καὶ βούλεσθαι καὶ ποιεῖν.*

Περὶ ἀμφοτέρων, νυκτὸς καὶ ἡμέρας, ποιούμενος Θ. λόγον λέγει·

521, 45. *ἀσφαλεστάτους νύκτωρ καὶ μεθ' ἡμέραν τῶν πόλεων φύλακας.*

525, 34. *ἀλλὰ καὶ νύκτωρ, ἔστι δ' ὅτε καὶ τῆς ἐπιγιγνομένης ἡμέρας,*

Ἰσ. δὲ πάλιν,

III, 19. *ἀλλὰ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας.*

3. *Ἀνάγκη, ἀνάγκη πᾶσα.*

Ἰσ. XII, 22. *ἀλλ' ἀνάγκη στέργειν τοῖς ἤδη συμβεβηκόσι.*

Θωμ. 457, 36. *ἀνάγκη μάλιστα πάντων φιλοπόλεμον εἶναι.* — 460, 40. *Ἀνάγκη τοίνυν καὶ πεζῆς καὶ ναυτικῆς δυνάμεως πάντα ποιεῖσθαι λόγον.* — 464, 16. *Τῆς γὰρ τῶν κρατούντων εὐδαιμονίας κοινωνεῖν ἀνάγκη τοὺς ὑπὸ χεῖρα* [1]).

457, 56. *ἀνάγκη πᾶσα — πρότερον ἐπιστήμην κεκτῆσθαι.* — 481, 25. *ἀνάγκη πᾶσα — μηδὲν τὸ παράπαν τούτοις ἐνδοιάζοντας χρῆσθαι.* — 493, 31. *Τὸν δὲ τοιοῦτον καὶ φθονεῖσθαι πᾶσα ἀνάγκη.* — 496, 38. *καὶ ταύτας ὡς κάκιστα ἕξειν πᾶσα ἀνάγκη* [2]).

4. Σκέψαι, σκοπεῖτε.

Ἰσ. XI, 47. *Σκέψαι δὲ κἀκεῖνο καὶ δίελθε πρὸς αὑτόν.*
XV, 297. *σκοπεῖτ' οὖν.*

Θωμ. 472, 39. *Σκόπει δέ.*
484, 32. *Σὺ μέντοι πρὸς τοῖς ἄλλοις κἀκεῖνο σκέψαι.*

5. Ὥσπερ ἔφην, ὥσπερ εἶπον, κ. τ. λ.

Ἰσ. VII, 39. *Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας.*

XII, 64. *καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ εἶπον ἤδη καὶ πρότερον, εἰ τῶν ἄλλων κ. τ. λ.*

166. *ἕως ἤκουσαν Σπαρτιάτας τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ κατοικούσας, ὥσπερ εἶπον, ὑφ' αὑτοῖς πεποιημένας.*

Θωμ. 456, 24. *καὶ μὴ μόνον φιλανθρώπως, ὡς ἔφην, πρὸς πάντας ἔχειν.*

468, 18. *εἶτα παρὸν διὰ μὲν τοῦ χρημάτων, ὡς ἔφην, ὑπερφρονεῖν κ. τ. λ.*

---

1) *Ἔτι δ' ἐν* 481, 37. — 484, 20. — 545, 22.

2) *Οὕτω καὶ ἐν* 497, 46. — 508, 35. — 516, 6. — 532, 31. — 541, 44. — 544, 17. — 545, 1.

472, 34. *μὴ τῶν βεβουλευμένων, ὥσπερ ἔφην, προβάντων.*

480, 43. *καὶ προσέτι προσκρούοντες, ὡς ἔφην, Θεῷ* [1]).

Ἔτι δ' ἐν 449, 30. — 525, 23. *ὃν ἔφην.*

452, 57. *ὧν ἔφην* [2]).

485, 14. *οἷς ἔφην* [3]).

512, 6. *ἅπερ ἔφην.*

544, 1. *ὃν εἴρηκα.*

6. Ἔτι δέ, πρὸς δὲ τούτοις, χωρὶς δὲ τούτων, κ. τ. λ.

Τούτοις ἅπασιν ἀδιαφόρως ἀμφότεροι ἐχρήσαντο.

Ἰσ. II, 3. *ἔτι δ' ἡ παρρησία.* — 44. *ἔτι δ' εἴ τις ἐκλέξειε.* — III, 20. *ἔτι δ' οἱ μέν.* — 33. *ἔτι δὲ καὶ τῶν τὴν νῆσον οἰκούντων κ. τ. λ.*

Θωμ. 501, 15. *Ἔτι νῦν τοι εἴ τις ἔροιτ' αὐτούς.*

Ἰσ. II, 3. *πρὸς δὲ τούτοις καὶ τῶν ποιητῶν τινες.* — 15. *πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ.* — 17. *πρὸς δὲ τούτοις — ποιοῦσι.* — III, 18. *πρὸς δὲ τούτοις — λυμαίνονται τοῖς κοινοῖς.* — 39. *πρὸς δὲ τούτοις — ἑώρων.*

IX, 1. *ἔτι δὲ πρὸς τούτοις.* — 67. *ἔτι δὲ πρὸς τούτοις.* — XIV, 13. *ἔτι δὲ πρὸς τούτοις.*

Θωμ. 544, 2. *Ἔτι πρὸς τούτοις χρὴ μὴ τοὺς τυχόντας ποιεῖσθαι παιδαγωγούς.*

Ἰσ. VIII, 11. *χωρὶς δὲ τούτων, πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι κ. τ. λ.;* — XI, 34. *Χωρὶς δὲ τούτων, εἰ δεῖ τῶν σῶν ἀπαλλαγέντα τὸν ἐμὸν λόγον ἐξετά-*

---

1) **Οὕτω καὶ ἐν** 492, 22. — 533, 33. *ὡς ἔφην.* — 525, 9. *ὥσπερ ἔφην.*

2) **Οὕτω καὶ ἐν** 464, 43. — 484, 51. — 493, 19. — 521, 44. — 461, 14. — 512, 35. — 541, 34.

3) **Οὕτω καὶ ἐν** 456, 31. — 464, 22. — 489, 31. — 497, 37. — 537, 14.

ζειν, κ. τ. λ. — XII, 150. χωρὶς δὲ τούτων, εἰ κατασταίην εἰς ἔλεγχον καὶ λόγον, κ. τ. λ.

Θωμ. 453, 26. χωρὶς δὲ τούτων, τὸ μὲν εὖ ποιεῖν μόνον πάντως ἐστὶ Θεοῦ. — 472, 3. Χωρὶς δὲ τούτων, ἐν μὲν τῷ κάλλιστα — βεβουλεῦσθαι μεγίστη τίς ἐστι τοῖς πράγμασι σωτηρία. — 493, 38. χωρὶς δὲ τούτων, εἰ τὰ μὲν καλῶς ἔχοντα παντάπασι τῶν πραγμάτων ἀπήλλακται βασκανίας καὶ φθόνου, κ. τ. λ. — 500, 11. χωρὶς δὲ τούτου, τὸ περὶ τοὺς κρατοῦντας οὑτωσὶ διακεῖσθαι, κ. τ. λ.[1]). — 484, 48. Ἄνευ δὲ τούτου, αἱ μὲν ἐκείνως διακείμεναι κ. τ. λ.

Ἔτι δὲ Θωμ. καὶ τῶνδε χρῆσιν ποιεῖται·

453, 20. ἔτι τοίνυν μὲν ἁπλῶς εὖ ποιεῖν καθαρῶς ἐστιν εὖ ποιεῖν. — 476, 43. Ἔτι τοίνυν ὥσπερ οἱ τῶν ἰατρῶν ἀγαθοὶ οὐ τὰ παρόντα μόνον ἀκοῦνται τῶν νοσημάτων.... — 485, 50. Ἔτι τοίνυν εἰ — καὶ ἃ οὐκ ἔχεις κτήσασθαι βούλει. — 541, 5. Ἔτι τοίνυν φυλακτέον ὑμῖν ἐστι. — 520, 58. Ἔτι τοίνυν ἐπειδήπερ οὐκ ἐντεῦθεν μόνον εὖ συνίσταται πόλεις....

453, 23. καὶ προσέτ' εὐεργετούμενον κ. τ. λ. — 481, 28. καὶ προσέτι παρελθούσης τῆς χρείας. — 505, 51. καὶ προσέτι τὸ μέλλον — ἀποσκοποῦντες. — 513, 27. καὶ προσέτι τοὺς ἄλλους ἅπαντας κ. τ. λ. — 521, 13. καὶ προσέθ' ὅπλοις ὡς πλείστοις πεφράχθαι[2]).

7. Οὐ μὴν ἀλλά.

Ἰσ. II, 8. οὐ μὴν ἀλλὰ τό γ' ἐπιχείρημα καλῶς ἔχει. — III, 10. οὐ μὴν ἀλλὰ καλλίστους ἡγοῦμαι. — 17. οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν ῥάδιόν ἐστι. — 27. οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν κ. τ. λ.

Οὕτω καὶ ἐν VIII, 1. 39. 137. — XII, 53. 113. 218. 248. — XIII, 21.

---

1) Οὕτω καὶ ἐν 500, 54. — 509, 7. — 513, 8. — 532, 13. — 525, 14. — 544, 46.

2) Πρβλ. καὶ 524, 37. — 525, 50. — 528, 22. — 537, 8. — 545, 2.

Θωμ. 476, 19. *Οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν ταῖς ὁμιλίαις ἑκάστοτε λόγων ὅτι πλεῖστος ἔστω σοι λόγος.*

484, 55. *Οὐ μὴν ἀλλὰ καὶ ὃ βούλομαι λέγειν.*

497, 38. *οὐ μὴν ἀλλ' εἰ μὲν ἦν κ. τ. λ.*

505, 14. *Οὐ μὴν ἀλλὰ κἀκεῖνα μάλιστα σκοπεῖσθαι προσήκει.*

508, 29. *οὐ μὴν ἀλλ' ἔστιν ὅτ' οὗτοι καὶ πρὸς τοὺς πολεμίους λάθρα λόγους ποιοῦνται.*

Οὕτω καὶ ἐν 509, 10. — 512, 15. — 524, 43. — 536, 34.

8. *Εἰ δὲ μή, ἐὰν δὲ μή.*

Ἡ ἐλλιπὴς ὑπόθεσις ἐκφέρεται συνήθως παρ' Ἰσ. τῷ „εἰ δὲ μή", παρὰ Θ. δὲ πάλιν ἀείποτε τῷ „ἐὰν δὲ μή".

Ἰσ. II, 52. *καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν συμβουλεύοντας, εἰ δὲ μή, καὶ καθ' ὅλων τῶν πραγμάτων λέγοντας.*

XI, 49. *Ἢν οὖν ἐμοὶ πείθῃ, μάλιστα μὲν οὐ ποιήσει τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις, εἰ δὲ μή, τοιαῦτα ζητήσεις λέγειν, κ. τ. λ.*

XII, 98. *πλὴν ὅπως μάλιστα μὲν ἁπάντων ἄρξουσιν, εἰ δὲ μή, Πελοποννησίων.*

XVIII, 42. *οὓς ὑμεῖς τὰ δίκαια γνόντες ἀδεῶς οἰκεῖν ἐν τῇ πόλει ποιήσετε· εἰ δὲ μή, πῶς οἴεσθε κ. τ. λ.;*

Θωμ. 473, 38. *ἐὰν δὲ μή, καὶ πολεμεῖν καὶ μάχεσθαι τούτοις.*

505, 8. *θαυμαστοί τινες ἔσεσθε καὶ θεοφιλεῖς, ἐὰν δὲ μή, πᾶν τοὐναντίον ὠμοὶ καὶ ἀπηνεῖς.*

540, 14. *ἐὰν δὲ μή, τοῦ ἤδη καὶ τὸ τῶν τεχνῶν κ. τ. λ.*

541, 30. *ἐὰν δὲ μή, τῆς περὶ ταῦτα διαμαρτίας αὐτὸς σὺ σαυτὸν αἰτιῶ.*

9. *Ἔστιν οἵ, κ. τ. λ.*

Ἰσ. III, 1. *Εἰσί τινες, οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους.*

X, 1. ***Εἰσί τινες, οἳ μέγα φρονοῦσι.***

XII, 242. *ἔστι δ' οὓς καὶ ἐπαινεῖν αὐτοὺς καὶ θαυμάζειν.*

Θωμ. 496, 3. *ἀλλὰ καὶ τῶν κακῶς ἀκηκοότων ἔστιν οἷς τοῦτ' ἔστι πρὸς κέρδους.*

524, 4. *ὅπου γὰρ καὶ τῶν εὐπορούντων ἔστιν οὓς κ. τ. λ.*

528, 50. *ἔστι δ' οὓς καὶ τοῖς μετὰ χρυσοῦ στεφάνοις ἐκόσμουν.*

533, 50. *Ὅταν δὲ καὶ τῶν δεσποτῶν ἔστιν οἳ τοὺς γιγνομένους τῶν πόνων μισθούς, κ. τ. λ.*

10. **Ἔστιν ἰδεῖν, ἔστιν εἰπεῖν, κ. τ. λ.**

Θωμ. 457, 16. *ἢ τοῦτ' ἰδεῖν ἔστιν ἐν εἰρήνῃ.*

496, 5. *τούς τε γὰρ ἀσέμνως βιοῦντας σώφρονας καὶ κοσμίους τοὺς πλείστους ἐντεῦθεν ἔστιν ἰδεῖν.*

497, 29. *καὶ τοῦτ' ἔστιν εἰπεῖν.*

524, 39. *οὐδ' ἔστιν εἰπεῖν ὅσον εἰκός.*

484, 45. *εὐδαιμονίζειν ἔστι τὰς πόλεις.*

496, 4. *ἔστιν — ὠφελεῖσθαι.*

509, 37. *ὃ κἀπὶ τῶν Σκυθῶν νῦν ἔστιν ὁρᾶν.*

Ἰσ. IV, 45. *πρὸς δὲ καὶ φιλίας εὑρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν παντοδαπωτάταις μάλιστα παρ' ἡμῖν ἔστιν, ἔτι δ' ἀγῶνας ἰδεῖν μὴ μόνον τάχους καὶ ῥώμης ἀλλὰ καὶ λόγων καὶ γνώμης καὶ τῶν ἄλλων ἔργων ἁπάντων.*

Ἐπιστ. IV, 8. *καίπερ εἰδότες (οἱ πεπλευκότες), ὅτι καὶ καλοῦ πλοῦ πολλάκις ἐπιτυχεῖν ἔστιν.*

11.

Τὸ πρὸς ὅ τι συγκρίνεται, τὸν δεύτερον καλούμενον τῆς συγκρίσεως ὅρον, ἐκφέρουσιν ἀμφότεροι καὶ αἰτιατικῇ πτώσει μετὰ τῆς προθέσεως "κατὰ" ἡγουμένου τοῦ "ἢ".

Ἰσ. III, 55. *πολλοὶ γὰρ ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν τραχύτερον ἢ κατὰ τὴν αὐτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν.*

IX, 21. *ἐξ ὧν μειζόνως ἂν φανείη (Εὐαγόρας) γεγονὼς ἢ κατ' ἄνθρωπον.*

Θωμ. 480, 27. *τοῦ δ' ὅτι μείζων ἢ κατ' ἰδιώτην ὁ θησαυρός ἐστι προσθέντος.*

492, 1. *πολλῷ βελτίους ἢ κατ' ἀνθρώπους καθιστᾶσιν ἀνθρώπους.*

517, 29. *μεῖζον ἢ κατ' ἄνθρωπον νομισθέντες καὶ τιμηθέντες.*

528, 30. *μεῖζον ἢ καθ' αὑτοὺς φρόνημα σχεῖν.*

Κεφ. Δ'.

Τελευτῶντες δ' ἤδη περὶ πολλοῦ ἡγούμεθα καὶ τὰ ἐνιαχοῦ τῶν Θ. λόγων κείμενα, φράσεις λέγω καὶ τὰ τοιαῦτα, ὧν τινὰ μὲν καὶ παρ' Ἰσοκρ. εὕρηται, ἄλλα δὲ πάμπαν ἐλλείπει, ἐν τούτῳ τῷ κεφ. δηλῶσαι· χρεὼν γὰρ καὶ περὶ τούτων, ὃ καὶ μόνον, ὡς ἐγῷμαι, λοιπόν ἐστι, βραχέ' ἄττα εἰπεῖν.

1. Δίκην τινός.

Θωμ. 492, 42. *σὺ μόνος πυρσοῦ δίκην δεῖν ᾠήθης ἀνάψαι.*

501, 50. *στροβίλου δίκην ἄνω καὶ κάτω τὸν βίον κυκώσης (τῆς τύχης).*

505, 28. *ταῖς αἰσχίσταις τῶν ἐπιθυμιῶν ἀνδραπόδων δίκην εἴκειν αἰσχρῶς.*

525, 44. *πτηνῶν δίκην διὰ πάσης νυκτὸς περισκοποῦντες τὰ τείχη καὶ περιθέοντες.*

541, 21. *κηροῦ δίκην.* — 545, 54. *ἀλόγων δίκην.* — 548, 8. *δίκην ἀνδραπόδων*[1]).

2. Ὡς εἰπεῖν, ξυλλήβδην εἰπεῖν, κ. τ. λ.

Θωμ. 460, 21. *καὶ πολεμικῆς, ὡς εἰπεῖν, εὖ ἥκοντα τέχνης καὶ πείρας.* — 465, 3. *καὶ τῆς ἀγαθῆς, ὡς εἰπεῖν, τύχης.* — 468, 7. *πάντων, ὡς εἰπεῖν, τῶν αἰσχίστων.* — 36. *πάντων μέν, ὡς εἰπεῖν, — τούτων αὐτῶν δεῖ.* — 473, 1. *ἐὰν μὴ καθ' ἑκάστην, ὡς εἰπεῖν, εὖ πάσχωσι.* — 489, 12. *τὸν ἄνθρωπον, ὡς εἰπεῖν, ὑπερβαίνει.* — 14. *ἰσό-*

---

1) *Ἐν* 500, 22. „*ἐν ἀνδραπόδων μοίρᾳ τούτοις κεχρῆσθαι.*“

θεός τις φῶς ὤν, ὡς εἰπεῖν. — 25. *καὶ τοῦ παντός, ὡς εἰπεῖν, ἄξιον.*

Πρβλ. καὶ 477, 34. — 492, 36. 51. — 493, 22. 54. — 497, 2. — 504, 56. — 505, 39. — 524, 19. — 528, 43. — 532, 17. — 544, 20.

520, 42. *καὶ ξυλλήβδην εἰπεῖν, πᾶσαν μὲν ἀδικίαν τούτων ἀπεῖναι.* — 529, 41. *καὶ ξυλλήβδην εἰπεῖν, ἁπάσης ἀσφαλείας καὶ σωτηρίας πρόβολος.*

453, 23. *καὶ προσέτ' εὐεργετούμενον, ἵν' οὕτως εἴπω, τὸν εὐεργετοῦντα παρασκευάζει νομίζειν.* — 468, 52. *οὕτως οὐ τὸ χρήμασιν, ἵν' οὕτως εἴπω, κεχρῆσθαι δεινόν.*

461, 32. *καὶ τὸ σύμπαν εἰπεῖν, — τὸ θυμικὸν ἀνάπτοντας σφίσι, κ. τ. λ.* — 476, 26. *καὶ τὸ σύμπαν ἀξιόχρεως σοί τε εἰρῆσθαι τοῖς τ' ἄλλοις ἀκοῦσαι.* — 544, 14. *καὶ τὸ σύμπαν εἰπεῖν, διὰ πάντων εὖ ἔχειν.*

456, 13. *οὐκοῦν ἀκριβεῖ λόγῳ οὐδ' ἃ δίδως ἡμῖν δῶρα σὰ δίδως.* — 529, 7. *ὥσθ' οἷς ἀκριβεῖ λόγῳ παρ' ἑαυτῶν οὐ παρ' ἡμῶν ταυτηνὶ κομίζονται τὴν συντέλειαν, κ. τ. λ.*

3. *Δυοῖν θάτερον.*

Θωμ. 485, 36. *Δυοῖν τοίνυν θάτερον . . . .*

512, 9. *μηδαμῶς, ἀλλὰ δυοῖν θάτερον . . . .*

56. *ἀνάγκη δυοῖν θάτερον κ. τ. λ.*

4. *Εἶεν.*

Θωμ. 457, 34. *καὶ τοῦτο πολλοῦ τινος ἄγειν. εἶεν.*

517, 33. *καιροῖς ὁμοίοις ὥσπερ τις οὐρανομήκης στήλη καταστάντες τῷ βίῳ. εἶεν.*

5. *Ἔστι δέος, μή.*

Θωμ. 464, 35. *ὡς ἔστι δέος, μὴ διατριβῆς ἀμφοῖν γιγνομένης . . . .*

532, 8. *μάλιστα μὲν ὅτι δέος ἦν, μὴ τοῖς αὐτοῖς ποτε καὶ αὐτοὶ περιπέσωμεν.*

6. *Πολλοῦ γε καὶ δεῖ.*

Θωμ. 468, 33. *πολλοῦ γε καὶ δεῖ.*
472, 30. *πολλοῦ γε καὶ τοῦ παντὸς δεῖ.*
480, 3. *πολλοῦ γε καὶ δεῖ.*
508, 16. *πολλοῦ γε καὶ δεῖ.*
512, 45. *ἦ που πολλοῦ γε καὶ τοῦ παντὸς — δεήσει.*
532, 46. *εἰ δὲ πολλοῦ γε καὶ τοῦ παντὸς — δεήσει.*

7. *Ὅσαι ὧραι.*

Θωμ. 460, 49. *ἐξ ἡμετέρων τε καὶ συνήθων καὶ οἵων ὑπὲρ τῶν ἡμῖν συμφερόντων ὅσαι ὧραι φροντίζειν ταυτηνὶ (τὴν στρατιὰν) καθεστάναι.*

472, 17. *καὶ σαυτὸν ἐν τούτοις ὅσαι ὧραι νικῶν.*

489, 22. *καὶ τὸ τῆς ψυχῆς ὄμμα ὅσαι ὧραι καὶ οἷς λέγει καὶ οἷς πράττει παντάπασιν ἐκκαθαίρων.*

8. *Διὰ τί; ὅτι.*

Θωμ. 488, 33. *Διὰ τί; ὅτι κινδυνεύει κ. τ. λ.*
516, 2. *Διὰ τί; ὅτι οὐχ ἃ δεῖ κ. τ. λ.*

9. *Πόθεν;*

Δὶς ἐν τοῖς λόγοις αὐτοῦ Θ. πεποιθὼς τῷ ὀλίγῳ πρότερον αὐτῷ εἰρημένῳ οὐχ οἷόν τ' εἶναι ἄλλως τοῦτο γενέσθαι ἢ ὡς αὐτὸς εἴρηκεν ἐρωτᾷ τῷ "πόθεν", οὗ ἂν τὸ πλῆρες εἴη· "πόθεν οἷόν τ' ἐστὶν ἄλλως (ἢ ὡς ἐγὼ λέγω) τοῦτ' ἔχειν;"

468, 33. *Πόθεν; πολλοῦ γε καὶ δεῖ· οὐ μόνον ὅτι....*
508, 16. *οὐδ' ἐγγύς· πόθεν; πολλοῦ γε καὶ δεῖ· ἀλλά....*

10. *Τί δεῖ λέγειν;*

Θωμ. 516, 8. *Καὶ τί δεῖ ταῦτα λέγειν;*

Ἰσ. II, 45. *Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν;*

III, 35. *καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν;*
63. *τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν;*

11. Τὸ γιγνόμενον σῴζειν.

Συχνότατα Θ. τῇ προτάσει ταύτῃ χρῆται, ἣν Ἰσ. πάντως, ὅσον ἐγῷδα, οὐ γιγνώσκει.

456, 45. *τὰ γιγνόμενα σῴζοντος.*

461, 2. *τὴν γιγνομένην σῴζουσι τάξιν.*

465, 1. *τὸ γιγνόμενον σῴζηται.*

476, 25. *τὸ γιγνόμενον σῴζοντας.*

481, 27. *τὸ γιγνόμενον σῴζηται.*

488, 57. *τὰ γιγνόμενα σῴζειν.*

Τοσαῦτα τοίνυν περὶ τῆς Ἰσοκράτους μιμήσεως Θωμᾶ τοῦ μαγίστρου εἰπόντες καί, ὡς εἴχομεν δυνάμεως καὶ χρόνου, ταύτην ἔν τε τῇ λέξει καὶ ταῖς ἐννοίαις καταφανῆ ποιησάμενοι τέλος ἐπιτίθεμεν τῇ πραγματείᾳ ἡμῶν ταύτῃ τὴν γνωστὴν ἐκείνην ἀνάγράφοντες ῥῆσιν.

"Τὸ ἁμαρτάνειν ἀνθρώπους ὄντας οὐδὲν θαυμαστόν."